ΕΠΕΙΔΗ πρὸ τούτων τῶν ἡμερῶν ἐγένετο λόγος ἡμῖν, ὦ ἀγαθώτατε Αὐτόλυκε, πυθομένου σου τίς μου ὁ θεὸς, καὶ δι᾽ ὀλίγου παρασχόντος σου τὰ ὦτα τῇ ὁμιλίᾳ ἡμῶν, περὶ τῆς θεοσεβείας μου ἐξεθέμην σοι· ἔτι δὲ καὶ ἀποταξάμενοι ἑαυτοῖς, μετὰ πλείστης φιλίας ἐπορεύθημεν ἕκαστος εἰς τὸν ἑαυτοῦ οἶκον, καίπερ σκληρῶς τὰ πρῶτα ἔχοντος πρὸς ἡμᾶς· οἶδας γὰρ καὶ μέμνησαι, ὅτι ὑπέλαβες μωρείαν εἶναι τὸν λόγον ἡμῶν. σοῦ οὖν μετὰ ταῦτα προτρεψαμένου με, κἂν ἰδιώτης ὦ τῷ λόγῳ, πλὴν βούλομαί σοι καὶ νῦν διὰ τοῦδε τοῦ συγγράμματος ἀκριβέστερον ἐπιδεῖξαι τὴν ματαιοπονίαν, καὶ ματαίαν θρησκείαν ἐν ᾗ κατέχῃ,

a ἀλλὰ

[a] ἀλλὰ καὶ δι' ὀλίγων τῶν κατὰ σὲ ἱστοριῶν ὧν ἀναγινώσκεις. ἴσως γὰρ οὐδέπω γινώσκεις τὸ ἀληθὲς φανερόν σοι ποιῆσαι. καὶ γὰρ γελοιόν μοι δοκεῖ, λιθοξόους μὲν καὶ πλάστας, ἢ ζωγράφοις, ἢ χωνευτὰς πλάσσειν τε καὶ γράφειν καὶ γλύφειν καὶ χωνεύειν, καὶ θεοὺς κατασκευάζειν, οἳ ἐπὰν γένωνται ὑπὸ τῶν τεχνιτῶν, οὐδὲν αὐτοὺς ἡγοῦνται. ὅταν δὲ ἀγορασθῶσιν [b] ὑπὸ τινῶν καὶ ἀνατεθῶσιν εἰς ναὸν καλούμενον ἢ οἶκον τινὰ· τούτοις οὐ μόνον θύουσιν οἱ ὠνησάμενοι, ἀλλὰ καὶ οἱ ποιήσαντες καὶ πωλήσαντες ἔρχονται μετὰ σπουδῆς καὶ παρατάξεως θυσιῶν τε καὶ σπονδῶν εἰς τὸ προσκυνεῖν αὐτοῖς, καὶ ἡγοῦνται θεοὺς αὐτοὺς, οὐκ εἰδότες ὅτι τοιοῦτοί εἰσιν, ὁποῖοι καὶ ὅτε ἐγένοντο ὑπ' αὐτῶν, ἤτοι λίθος ἢ χαλκὸς, ἢ ξύλον, ἢ χρῶμα, ἢ καὶ ἑτέρα τίς ὕλη.

Τοῦτο δὴ καὶ ὑμῖν συμβέβηκε τοῖς ἀναγινώσκουσι τὰς ἱστορίας καὶ γενεαλογίας τῶν λεγομένων θεῶν· ὁπόταν γὰρ ἐντυγχάνητε ταῖς γενέσεσιν αὐτῶν, ὡς ἀνθρώπους αὐτοὺς νοεῖτε. ὕστερον δὲ θεοὺς προσαγορεύετε,

a ἅμα MS. b Hæc MS. debentur.

καὶ

detineris, etiam ex paucis quæ apud te ſunt hiſtoriis, quas legis. Veriſimile enim eſt quod nondum poteris veritatem perſpicere. Verum enimvero mihi ridiculum videtur ſtatuarios, fictores, pictores fuſoreſque, fingere, pingere, ſculpere, fundere, deoſque parare, quos ubi abſolverint, flocci faciunt. Ubi autem Dii illi opera humanarum manuum fuerint ære redemti, & in templum aut in domum aliquam collocati; non ſolum iis emtores ſacrificant, ſed & qui fecerunt & vendiderunt, multo cum ſtudio & apparatu ſacrificiorum & libaminum veniunt ut eos adorent; & putant eos eſſe Deos, nec cogitant tales nunc eſſe, quales cum fabricarentur ab ipſis, fuerunt, aut ſaxum, aut æs, aut lignum, aut color, aut alia quævis materia.

Hoc quidem vobis accidit, qui hiſtorias & genealogias eorum legitis qui Dii dicuntur. Etenim dum genealogias eorum percurritis pro hominibus eos habetis, poſtmodum Deos appellatis, & colitis, nec ſcientes neque

que intelligentes eos tales esse, quales natos legitis. Et quidem Deorum, si modo nati fuere, fœcunda & copiosa reperitur generatio. At ubi nunc Deos gignere, ostendi potest? Nam si tum genuere & geniti sunt, manifestum est eorum generationem hucusque porrigi. Sin secus se res habet, certe infirmum Deorum genus reputabitur. Aut enim senio confecti generare desierunt, aut mortui sunt, & in nihilum redacti. Si enim Dii nati sunt, eorum generationem hucusque protendi necessarium erat, quemadmodum & homines generantur: imo oportet plures esse Deos quam homines, sicuti & Sibylla perhibet.

*Nam si Dii generent, vita & sine morte fruantur;*
*Mortales numero superarent numina, nullus*
*Suppeteretque locus quo vir vestigia figat.*

At si hominum mortalium & brevis ævi, quæ nascitur proles, etiamnum ostenditur, nec inter homines à generandi ordine cessatum est. Qua-

καὶ θρησκεύετε αὐτοῖς, οὐκ ἐφιστάνοντες οὐδὲ συνιέντες, ὅτι οἵους αὐτοὺς ἀνέγνωτε γεγονέναι, τοιοῦτοι καὶ ἐγεννήθησαν. καὶ τῶν μὲν τότε θεῶν εἴπερ ἐγεννῶντο, γένεσις πολλὴ ηὑρίσκετο. τὸ δὲ νῦν ποῦ θεῶν γένεσις δείκνυται; εἰ γὰρ τότε ἐγέννων καὶ ἐγεννῶντο, δῆλον ὅτι ἐχρῆν καὶ ἕως τοῦ δεῦρο γίνεσθαι θεοὺς γεννητούς. εἰ δὲ μή γε, ἀσθενὲς τὸ τοιοῦτο νοηθήσεται. ἢ γὰρ ἐγήρασαν, διὸ οὐκ ἔτι γεννῶσιν, ἢ ἀπέθανον, καὶ οὐκ ἔτι εἰσίν. εἰ γὰρ ἐγεννῶντο θεοί, ἐχρῆν καὶ ἕως τοῦ δεῦρο γεννᾶσθαι, καθάπερ γὰρ καὶ ἄνθρωποι γεννῶνται. μᾶλλον δὲ καὶ πλείονες θεοὶ ὤφειλον εἶναι τῶν ἀνθρώπων, ὥς φησι σίβυλλα·

Εἰ δέ γε γεννῶσι, καὶ ἀθάνατοί γε μένουσι,
Πλείονες ἀνθρώπων γεγενημένοι οἱ θεοὶ ἦσαν,
Οὐδὲ τόπος στῆναι θνητοῖς οὐκ ἄν ποθ' ὑπῆρξεν.

Εἰ γὰρ ἀνθρώπων θνητῶν καὶ ὀλιγοχρονίων ὄντων τὰ γεννώμενα τέκνα ἕως τοῦ δεῦρο δείκνυται, καὶ οὐ πέπαυται τὸ μὴ γεννᾶσθαι ἀνθρώποις· διὸ πληθύουσι πόλεις καὶ

κῶμαι, ἔτι μὴν καὶ χῶραι κατοικοῦνται· πῶς οὐχὶ μᾶλλον ἐχρῆν θεοὺς τοὺς μὴ ἀποθνήσκοντας, κατὰ τοὺς ποιητάς, γεννᾶν καὶ γεννᾶσθαι, καθὼς φατὲ θεῶν γένεσιν γεγενῆσθαι;

Πρὸς τί δὲ μὲν τότε τὸ ὄρος τὸ καλούμενον [a] Ὄλυμπος ὑπὸ θεῶν κατῳκεῖτο, νυνὶ δὲ ἔρημον τυγχάνει; ἢ τίνος ἕνεκεν, τότε μὲν ὁ Ζεὺς ἐν τῇ Ἴδῃ κατῴκει, καὶ ἐγινώσκετο οἰκῶν ἐκεῖ κατὰ τὸν [a] Ὅμηρον καὶ τοὺς λοιποὺς ποιητάς, νυνὶ δὲ ἀγνοεῖται; διά τι δὲ καὶ οὐκ ἦν πανταχόσε, ἀλλ' ἐν μέρει γῆς εὑρίσκετο; ἢ γὰρ τῶν λοιπῶν ἠμέλει, ἢ ἀδύνατος ἦν τὸ πανταχόσε εἶναι, καὶ τῶν πάντων προνοεῖν; εἰ γὰρ ἦν, εἰ τύχοι εἰπεῖν, ἐν τόπῳ ἀνατολικῷ, οὐκ ἦν ἐν τόπῳ δυτικῷ· εἰ δὲ αὖ πάλιν ἐν τοῖς δυτικοῖς ἦν, οὐκ ἦν ἐν τοῖς ἀνατολικοῖς. Θεοῦ δὲ τοῦ ὑψίστου καὶ παντοκράτορος, καὶ τοῦ ὄντως θεοῦ, τοῦτό ἐστι μὴ μόνον τὸ πανταχόσε εἶναι, ἀλλὰ καὶ πάντα ἐφορᾶν, καὶ πάντων ἀκούειν· ὅτι μὴν μηδὲ τὸ ἐν τόπῳ χωρεῖσθαι· εἰ δὲ μή γε, μείζων ὁ χωρῶν τόπος αὐτοῦ εὑρεθήσε-

a Passim apud Homer.

ται·

Quapropter urbes & vici replentur, regiones utique inhabitantur: qui fit igitur quod non eadem ratione Dii, quos Poetæ immortales canunt, gignant & gignantur, cum dicatis, *Esse Deos genitos?*

Quare vero mons ille, quem Olympum nominant, olim habitatus à Diis, nunc desertus est? Quare etiam tunc Jupiter in Ida monte domicilium habebat, & constabat ex testimonio Homeri aliorumque Poetarum, eum ibi morari; nunc vero ubi sit, ignoratur? Qui fit autem quod non ubique erat, sed saltem in uno terræ angulo reperiebatur? Aut enim reliquos negligebat; aut non poterat simul ubique esse, & omnium providentiam agere. Nam si erat (exempli gratia) in loco orientali, non inveniebatur in occidentali: sin versabatur in occidente, desiderabatur in oriente. Ceterum Dei altissimi qui omnia regit reque vera existit, hoc quasi proprium est, ut non solum ubique sit, verum omnia præsens inspiciat & audiat. Præterea nec loco continetur: alioqui locus qui ipsum continet, eo major in-

 veniretur;

veniretur; nam continens majus est contento. Deus enim loco nequaquam circumscribitur, verum ipse est omnium locus. Quare autem Idam reliquit Jupiter, an morte præventus, aut quia mons ille non perinde placebat. At quo abiit? In cœlos? Nequaquam. Quo igitur? In Cretam? Recte, ubi sepulchrum ejus adhuc hodie visitur. Verum ais, Pisas concessit, ubi hucusque Phidiæ manum concelebrat.

I

Veniamus igitur ad Philosophorum & Poetarum scripta. Stoici quidam Deum esse in universum abnegant: aut si sit, asserunt eum nullius præterquam sui curam gerere. Et hæc quidem Epicurus & Chrysippus delirant. Alii astruunt omnia fortuito evenire, & mundum ingenitum, & naturam quandam peculiarem: & in summa, dicere ausi fuerunt Dei providentiam non esse, verum uniuscujusque conscientiam Deum constituunt. Quidam asseverant spiritum per omnia diffusum Deum esse. Plato cum suis asseclis Deum quidem confitetur ingenitum, patrem

præterea,

ται· μείζων γάρ ἐστι τὸ χωροῦν, τοῦ χωρουμένου. Θεὸς γὰρ οὐ χωρεῖται, ἀλλὰ αὐτός ἐστι τόπος τῶν ὅλων. πρὸς τί δὲ καὶ καταλέλοιπεν ὁ Ζεὺς τὴν Ἴδην, πότερον τελευτήσας, ἢ οὐκ ἔτι ἤρεσεν αὐτῷ ἐκεῖνο τὸ ὄρος; ποῦ δὲ καὶ ἐπορεύθη, εἰς οὐρανούς; οὐχί. ἀλλὰ ἐρεῖς εἰς Κρήτην; ναὶ, ὅπου καὶ τάφος αὐτοῦ ἕως τοῦ δεῦρο δείκνυται. πάλιν φήσεις, εἰς Πεῖσαν ὁ κλέων ἕως τοῦ δεῦρο τὰς χεῖρας [a] Φειδίου.

Ἔλθωμεν τοίνυν ἐπὶ τὰ συγγράμματα τῶν φιλοσόφων καὶ ποιητῶν. ἔνιοι μὲν τῆς [b] Στοᾶς ἀρνοῦνται καὶ τὸ ἐξ ὅλου Θεὸν εἶναι· ἢ εἰ καί ἐστι, μηδενός φασι φροντίζειν τὸν Θεὸν, πλὴν ἑαυτοῦ. καὶ ταῦτα μὲν παντελῶς Ἐπικούρου καὶ Χρυσίππου ἡ ἄνοια ἀπεφήνατο. ἕτεροι δέ φασιν [c] αὐτοματισμὸν τῶν πάντων εἶναι, καὶ τὸν κόσμον [d] ἀγένητον, καὶ φύσιν ἰδίαν, καὶ τὸ σύνολον, πρόνοιαν μὴ εἶναι Θεοῦ, ἐτόλμησαν ἐξειπεῖν· ἀλλὰ Θεὸν εἶναι μόνον φασὶ, τὴν ἑκάστου συνείδησιν. ἄλλοι δ' αὐτὸ δι' ὅλου κεχωρηκὸς πνεῦμα Θεὸν δογματίζουσι. Πλάτων δὲ καὶ οἱ τῆς αἱρέσεως αὐτοῦ, Θεὸν μὲν ὁμολογοῦσιν ἀγένη-

a Vid. Pausan. Eliac. 1. b Vid. Plutarch. περὶ τῆς Στοϊκ. ἐναντ. c Democrit. Epic. d Aristot.

τον, καὶ πατέρα, καὶ ποιητὴν τῶν ὅλων εἶναι· εἶτα ὑποτίθενται θεοῦ καὶ ὕλην [a] ἀγένητον, καὶ ταύτην φασὶ συνηκμακέναι τῷ θεῷ.

Εἰ δὲ θεὸς ἀγένητος καὶ ὕλη ἀγένητος, οὐκέτι ὁ θεὸς ποιητὴς τῶν ὅλων ἐστὶ, κατὰ τοὺς Πλατωνικοὺς, οὐδὲ μὴν μοναρχία θεοῦ δείκνυται, ὅσον τὸ κατ' αὐτούς. ἔτι δὲ ὥσπερ ὁ θεὸς ἀγένητος ὢν, καὶ ἀναλλοίωτός ἐστιν· οὕτως εἰ καὶ ἡ ὕλη ἀγένητος ἦν, καὶ ἀναλλοίωτος, καὶ ἰσόθεος ἦν. τὸ γὰρ γενητὸν, τρεπτὸν καὶ ἀλλοίωτον· τὸ δὲ ἀγένητον, ἄτρεπτον καὶ ἀναλλοίωτον. τί δὲ μέγα εἰ ὁ θεὸς ἐξ ὑποκειμένης ὕλης ἐποίει τὸν κόσμον; καὶ γὰρ τεχνίτης ἄνθρωπος, ἐπὰν ὕλην λάβῃ ἀπό τινος, ἐξ αὐτῆς ὅσα βούλεται ποιεῖ. θεοῦ δὲ ἡ δύναμις ἐν τούτῳ φανεροῦται, ἵνα ἐξ οὐκ ὄντων ποιῇ ὅσα βούλεται. καθάπερ καὶ τὸ ψυχὴν δοῦναι καὶ κίνησιν, οὐχ ἑτέρου τινός ἐστιν, ἀλλ' ἢ μόνου θεοῦ. καὶ γὰρ ἄνθρωπος εἰκόνα μὲν ποιεῖ· λόγον δὲ καὶ πνοὴν, ἢ αἴσθησιν οὐ δύναται δοῦναι τῷ ὑπ' αὐτοῦ γινομένῳ. θεὸς δὲ

[a] Imo Ideam addidit Plato. Vid. Plat. in Tim. Plutarch. de placit. Apul. l. 1. de doct. Plat. Chalcid. in Tim. Alcin. c. 12.

τούτου

præterea & conditorem omnium: at deinde ſupponit Deo materiam quoque ingenitam, quæ ſimul cum Deo adolevit.

Verum ſi Deus ſit ingenitus & materia ingenita, jam nec amplius Deus conditor eſt omnium etiam ſecundum Platonicos: nec ejus Monarchia ab iis vere demonſtratur. Porro quemadmodum Deus qui ingenitus eſt, idem etiam eſt immutabilis; ita ſi materia ingenita foret, nulli mutationi obnoxia eſſet, nec quicquam differret à Deo. Nam id quod gignitur, mutabile eſt & alterabile: ceterum illud quod ingenitum eſt, nullam mutationem vel alterationem agnoſcit. Quid vero eximium foret, ſi Deus ex ſubjecta materia mundum creaſſet? Etenim & homo, qui artificium aliquod callet, ſi materiam ab aliquo accipiat, quæ vult, ex ea conficere poteſt. Dei autem potentia in hoc oſtenditur, dum abſque materia ſuppoſita, quæ vult, operatur. Quemadmodum etiam animam dare & motum, nullius alterius eſt, quam ſolius Dei. Homo quidem imaginem efficere poteſt; at operi ſuo vel rationem vel ſpiritum vel ſenſum ingenerare nequit.

At

At hac prærogativa gaudet Deus,ut rationale, ſpirans, ſenſitivum efficere poſſit. Quemadmodum igitur in his omnibus potentior oſtenditur Deus homine: ſic etiam in eo excellit, quod ex non-exiſtentibus producit, & produxit entia quotquot voluit, & quomodo voluit.

Adeo diſcordant Philoſophorum & ſcriptorum humanioris literaturæ ſententiæ: cum enim illi hæc aſſeruerint, reperitur Poeta Homerus hypotheſi longe diverſa non ſolum mundi, ſed & Deorum generationem introducens. Inquit enim alicubi:

*Oceanumque Deum genitorem & Tethya matrem,*
*Unde omnes fluvii veniunt, atque æquora cuncta.*

At hæc dicens nequaquam Deum conſtituit. Quis enim neſcit Oceanum eſſe aquam? At ſi aqua eſt, non igitur Deus. Si autem Deus, ut nemo it inficias, univerſorum eſt conditor; condidit ergo aquam & maria. Heſiodus quidem non ſolum Deorum generationem, verumetiam mundi enarravit. Cum autem diceret mundum eſſe genitum, adeo ſtupidus fuit, ut ejus conditorem nominare omiſerit. Inſuper

τούτου πλεῖον τοῦτο κέκληται, τὸ ποιεῖν λογικόν, ἔμπνουν, αἰσθητικόν. ὥσπερ οὖν ἐν τούτοις πᾶσιν δυνατώτερός ἐστιν ὁ θεὸς τοῦ ἀνθρώπου· οὕτω καὶ ἐν τῷ ἐξ οὐκ ὄντων ποιεῖν καὶ πεποιηκέναι τὰ ὄντα καὶ ὅσα βούλεται, καθὼς βούλεται.

Ὥστε ἀσύμφωνός ἐστιν ἡ γνώμη κατὰ τοὺς φιλοσόφους καὶ συγγραφεῖς· τούτων γὰρ ταῦτα ἀποφηναμένων, εὑρίσκεται ὁ ποιητὴς Ὅμηρος, ἑτέρᾳ ὑποθέσει εἰσάγων γένεσιν οὐ μόνον κόσμου, ἀλλὰ καὶ θεῶν. φησὶ γάρ που,

[a] Ὠκεανόν τε, θεῶν γένεσιν, καὶ μητέρα Τηθύν,

[b] Ἐξ οὗπερ πάντες ποταμοὶ καὶ πᾶσα θάλασσα.

Ἃ δὴ λέγων οὐκέτι θεὸν συνιστᾷ. τίς γὰρ οὐκ ἐπίσταται τὸν Ὠκεανὸν ὕδωρ εἶναι; εἰ δὲ ὕδωρ, οὐκ ἄρα θεός. ὁ δὲ θεὸς εἰ τῶν ὅλων ποιητής ἐστι, καθὼς καὶ ἐστὶν· ἄρα καὶ τοῦ ὕδατος καὶ τῶν θαλασσῶν κτίστης ἐστίν. Ἡσίοδος δὲ καὶ αὐτὸς οὐ μόνον θεῶν γένεσιν ἐξεῖπεν, ἀλλὰ καὶ αὐτοῦ τοῦ κόσμου. καὶ τὸν μὲν κόσμον γενητὸν εἰπών, ἠτόνησεν εἰπεῖν ὑφ' οὗ γέγονεν. ἔπι

a Iliad. ξ'. verſ. 101. b Iliad. φ'. verſ. 196.

μὴν

μίων καὶ θεοὺς ἔφησε Κρόνον καὶ τὸν ἐξ αὐτοῦ Δία, Ποσειδῶνά τε καὶ Πλούτωνα, καὶ τούτους μεταγενεστέροις εὑρίσκομεν τοῦ κόσμου. ἔτι δὲ καὶ τὸν Κρόνον πολεμεῖσθαι ὑπὸ τοῦ Διὸς τοῦ ἰδίου παιδὸς ἱστορεῖ. οὕτω γάρ φησι·

[a] Κάρτεϊ νικήσας πατέρα Κρόνον· εὖ δὲ ἕκαστα
Ἀθανάτοις διέταξεν ὅμως, καὶ ἐπέφραδε τιμάς.

Εἶτα ἐπιφέρει λέγων τὰς τοῦ Διὸς θυγατέρας, ἃς καὶ Μούσας προσαγορεύει, ὧν ἱκέτης εὑρίσκεται βουλόμενος μαθεῖν παρ' αὐτῶν, τίνι τρόπῳ τὰ πάντα γεγένηται. λέγει γάρ·

[b] Χαίρετε τέκνα Διὸς, δότε δ' ἱμερόεσσαν ἀοιδὴν,
Κλείετε δ' ἀθανάτων ἱερὸν γένος αἰὲν ἐόντων,
Οἳ γῆς ἐξεγένοντο, καὶ οὐρανοῦ ἀστερόεντος,
Νυκτός τε δνοφερῆς, οὓς ἁλμυρὸς ἔτρεφε πόντος.
Εἴπατε δ' ὡς τὰ πρῶτα θεοὶ καὶ γαῖα γένοντο,
Καὶ ποταμοὶ, καὶ πόντος ἀπείριτος οἴδματι θύων,

a Theogon. verſ. 74. b verſ. 104.

Ἄστρα-

per Deos appellaverit Saturnum, ejusque filium Jovem, necnon Neptunum & Plutonem, quos quidem juniores mundi generatione novimus. Tradit insuper Saturnum à Jove filio suo esse debellatum. Sic enim canit:

*Saturnum valide expugnans, recte omnia cunctis*
*Cœlicolis dedit, & justos divisit honores.*

Postea infert compellans Jovis filias quas & Musas nominat, quibus supplex fit, cupiens ex ipsis discere quo modo omnia facta sint. Ait enim:

*Alma Jovis soboles, gratum concedite cantum,*
*Concelebrate sacrum genus immortale Deorum,*
*Quos peperit terra, & stellis radiantibus ardens*
*Cœlum, & nox tenebrosa; quibus dedit ubera pontus.*
*Dicite vos etiam Divum incunabula, terræ,*
*Lympharum, & maris immenso quod volvitur æstu;*

Fulgen-

*Fulgentes stellas, & cœlum super omnia latum:*
*His & prognatos superos, bona munera cunctis*
*Donantes; ut opes tribuant, & honoribus ornent;*
*Ut primum his cessit spatiosi regia olympi.*
*Dicite Pierides, nam vos habitatis in illo,*
*Ordine quæque suo, & quis magnus originis auctor.*

Ceterum quomodo hæc norunt Musæ, cum multo juniores sint mundi creatione? Aut quomodo ista explicare potuere Hesiodo, cum pater earum nondum foret genitus? Verum Hesiodus quodammodo materiam subjicit, dum mundi creationem exponit. Ait enim:

*Primum informe chaos fuerat, tunc pectora late*
*Extendens tellus, quæ Diis fundamina cunctis*
*Dat, quibus incoluisse datum est, juga candida olympi;*
*Tartara succedunt subtus penetralia terræ,*

Atque

Ἄστρά τε λαμπετόωντα, καὶ οὐρανὸς εὐρὺς ὕπερθεν·
Οἵ τ' ἐκ τῶν ἐγένοντο θεοί, δωτῆρες ἐάων.
Ὥστ' ἄφενος δάσαντο, καὶ ὡς τιμὰς διέλοντο.
Ἠδὲ καὶ ὡς τὰ πρῶτα πολύπτυχον ἔσχον ὄλυμπον·
Ταῦτά μοι ἔσπετε μοῦσαι ὀλύμπια δώματ' ἔχουσαι
Ἐξ ἀρχῆς, καὶ εἴπαθ' ὅ, τι πρῶτον γένετ' αὐτῶν.

Πῶς δὲ ταῦτα ἠπίσαντο αἱ μοῦσαι, μεταγενέστεραι οὖσαι τοῦ κόσμου; ἢ πῶς ἠδύναντο διηγήσασθαι τῷ Ἡσιόδῳ· ὅπου γε ὁ πατὴρ αὐτῶν οὔπω γεγένηται; καὶ ὕλην μὲν τρόπῳ τινὶ ὑποτίθεται καὶ κόσμου ποίησιν λέγων,

[a] Ἤτοι μὲν πρώτιστα χάος γένετ', αὐτὰρ ἔπειτα
Γαῖ' εὐρύστερνος, πάντων ἕδος ἀσφαλὲς αἰεὶ
Ἀθανάτων, οἳ ἔχουσι κάρη νιφόεντος ὀλύμπου,
Τάρταρά τ' ἠερόεντα μυχῷ χθονὸς εὐρυοδείης,

a Ibid.

Ἠδ' ἔρος, ὃς κάλλιςος ἐν ἀθανάτοισι θεοῖσι,
Λυσιμελὴς πάντων τε θεῶν πάντων τε ἀν-
θρώπων,
Δάμναται ἐν ςήθεσσι νόον καὶ ἐπίφρονα βουλήν.
Ἐκ χάεος δ' ἔρεβός τε, μέλαινά τε νὺξ
ἐγένοντο.
Νυκτὸς δ' αὖτ' αἰθήρ τε καὶ ἡμέρη ἐξεγένοντο,
Οὓς τέκε κυσσαμένη ἐρέβει φιλότητι μιγεῖσα.
Γαῖα δέ τοι πρῶτον μὲν ἐγείνατο ἶσον ἑαυτῇ
Οὐρανὸν ἀςερόενθ', ἵνα μιν περὶ πάντα κα-
λύπτοι,
Ὄφρ' εἴη μακάρεσσι θεοῖς ἕδος ἀσφαλὲς αἰεί·
Γείνατο δ' οὔρεα μακρὰ, θεῶν χαρίεντας
ἐναύλους
Νυμφάων, αἳ ναίουσιν ἀν' οὔρεα βησσήεντα,
Ἡ καὶ ἀτρύγετον πέλαγος τέκεν οἴδματι θῦον
Πόντον, ἄτερ φιλότητος ἐφιμέρου· αὐτὰρ ἔπειτα
Οὐρανῷ εὐνηθεῖσα, τέκ' ὠκεανὸν βαθυδίνην.

Καὶ ταῦτα εἰπὼν, οὐδὲ οὕτως ἐδήλωσεν ὑπὸ τίνος ἐγένοντο. εἰ γὰρ ἐν πρώτοις ἦν χάος, καὶ ὕλη τις προϋπέκειτο ἀγένητος οὖσα· τίς ἄρα ἦν ὁ ταύτην μετασκευάζων, καὶ μεταρρυθμίζων, καὶ μεταμορφῶν; πότερον αὐτὴ ἑαυτὴν ἡ ὕλη τ' ἐσχημάτιζεν καὶ ἐκόσμει;

*Atque Amor; hic inter divos pulcherrimus omnes,*
*Illorum solvit curas, hominumque recludit*
*Pectora, consiliumq; sagax avertit ab illis.*
*Triste chaos Erebum peperit, noctemque profundam:*
*Progenies noctis fuerant ætherq; diesque,*
*Quos tulerat postquam est Erebo conjuncta in amore,*
*At tellus cœlum genuit flammantibus astris*
*Distinctum, ut liquidis illam circundaret ulnis,*
*Numinibusque esset sedes æterna beatis;*
*Quin genuit montes altos, gratissima castra*
*Nympharum, quæ præruptis convallibus errant.*
*Atque etiam sterilis peperit freta turbida ponti,*
*Queis nunquam subrisit amor: post tempora longa*
*Cœlo concumbens, decumanos edidit alti*
*Oceani fluctus.*

Quamvis autem Hesiodus hæc pronunciarit, nondum tamen demonstravit à quo condita sint. Si in principio erat chaos, liquet materiam quandam ingenitam ista antecessisse. Quem igitur, cedo, dabis qui hanc disposuit, temperavit formavitque? Num materia semetipsam & formavit & exornavit?

navit? Jupiter enim, tempore longo interjecto, non solum materiam, sed & mundum hominumque multitudinem sequutus est. Insuper Saturnus ejus pater, aut potius aliud quippiam erat majore virtute præditum, quod eam fecit. Deum autem dico, qui eam exornavit. Ad hæc manifestum est Hesiodum omnia illa ineptissime tradere, & sibi contraria proferre. Dum enim inquit, *Terram, cœlum & mare, &c.* quid aliud sentit, quam ex his prodiisse & natos esse Deos? Inde recenset homines potentissimos ex Diis prognatos, videlicet Titanum & Cyclopum prosapiam, necnon multitudinem Gigantum, qui quodammodo Deorum cognati reputantur, dæmonumque Ægyptiorum, necnon vanorum hominum, ut meminit Apollonides cognomento Horapius, in libro cui titulus est, Semenuthi. Præterea & in reliquis, quas scribit, historiis mentionem facit superstitionis circa cultum Divinum Ægyptiorum, deque eorum regibus, & vano eorum labore in operibus suis.

Quid necesse est Græcorum repetere fabulas? Plutonem videlicet tenebrarum regem, Neptunum sub mari incedentem, & Menalippæ in complexus

ἐκόσμει; ὁ γὰρ Ζεὺς μετὰ χρόνον πολὺν γεγένηται, οὐ μόνον τῆς ὕλης, ἀλλὰ καὶ τοῦ κόσμου, καὶ πλήθοις ἀνθρώπων. ἔτι μὴν καὶ ὁ πατὴρ αὐτοῦ Κρόνος, ἢ μᾶλλον ἦν κύριον τὶ τὸ ποιῆσαν αὐτήν. λέγω δὲ θεὸς ὁ καὶ κατακοσμήσας αὐτήν. ἔτι μὴν κατὰ πάντα τρόπον φλυαρῶν εὑρίσκεται, καὶ ἐναντία ἑαυτῷ λέγων. εἰπὼν γὰρ γῆν καὶ οὐρανὸν καὶ θάλασσαν, ἐξ αὐτῶν τοὺς θεοὺς βούλεται γεγονέναι, καὶ ἐκ τούτων ἀνθρώπους δεινοτάτους τινὰς συγγενεῖς θεῶν καταγγέλλει, Τιτάνων γένος, καὶ Κυκλώπων, καὶ Γιγάντων πληθὺν, τῶν τε κατ' Αἴγυπτον δαιμόνων, ἢ ματαίων ἀνθρώπων, ὡς μέμνηται Απολλωνίδης ὁ καὶ [a] Ὡράπιος ἐπικληθεὶς, ἐν βίβλῳ τῇ ἐπιγραφομένῃ Σεμενουθὶ, καὶ ταῖς λοιπαῖς κατ' αὐτὸν ἱστορίαις, περί τε τῆς θρησκείας τῆς Αἰγυπτιακῆς, καὶ τῶν βασιλέων αὐτῶν καὶ τὴν ἐν αὐτοῖς [b] ματαιοπονίαν.

Τί δέ μοι λέγειν τοὺς κατὰ Ἕλληνας μύθους; Πλούτωνα μὲν σκότους βασιλεύοντα, καὶ Ποσειδῶνα ὑπὸ πόντον δύνοντα, καὶ τῇ Μεναλίππῃ

---

a Crederet aliquis Apollonidem hunc Horapium Horapollinem fuisse, qui τεμενικὰ à Suida scripsisse dicitur: nisi idem Suidas illum Theodosii seculo assignasset. Semenouthi in lingua Ægyptiaca videtur Ⲭⲱⲙⲛ̄ⲛⲟⲩϯ sive *liber Deorum*. *b* In Pyramidum structura.

περιπλεκόμενον, καὶ υἱὸν ἀνθρωποβόρον γενήσαντα· ἢ περὶ τῶν τοῦ Διὸς παίδων ὁπόσα οἱ συγγραφεῖς ἐτραγῴδησαν, καὶ ὅτι οὗτοι ἄνθρωποι καὶ οὐ θεοὶ ἐγεννήθησαν, τὸ γένος αὐτῶν αὐτοὶ καταλέγουσιν. Ἀριστοφάνης δὲ ὁ κωμικὸς ἐν ἐπιγραφομέναις Ὄρνισιν ἐπιχειρήσας περὶ τῆς τοῦ κόσμου ποιήσεως, ἔφη, ἐν πρώτοις ᾠὸν γεγενῆσθαι τὴν σύστασιν τοῦ κόσμου, λέγων·

Τίκτει πρώτιστον [a] ὑπηνέμιον νὺξ μελανίπτερος ᾠόν.

ἀλλὰ καὶ [b] Σάτυρος ἱστορῶν τοὺς δήμους Ἀλεξανδρέων, ἀρξάμενος ἀπὸ Φιλοπάτορος τοῦ καὶ Πτολεμαίου προσαγορευθέντος· τούτου μηνύει Διόνυσον ἀρχηγέτην γεγονέναι. διὸ καὶ φυλὴν ὁ Πτολεμαῖος πρώτην κατέστησεν. λέγει οὖν ὁ Σάτυρος οὕτως· Διονύσου καὶ Ἀλθέας τῆς Θεστίου γεγενῆσθαι Δηϊάνειραν· τῆς δὲ καὶ Ἡρακλέους τοῦ Διός, οἶμαι Ὕλλον· τοῦ δὲ [c] Κλεόδημον, τοῦ δὲ Ἀριστόμαχον, τοῦ δὲ Τήμενον, τοῦ δὲ [d] Κεῖσον, τοῦ δὲ Μάρωνα, τοῦ δὲ

---

a Per ovum ſubventaneum, chaos intelligi videtur. b Quem laudant Athenæus, Laertius, Dion. Halicarnaſſeus, aliique. c Alii Cleodatum vocant. d Diodorus & Theopompus Κίσσιον appellant. Deſideratur in eorum catalogis Maron. & pro Acoo, ſubſtituitur Merops.

Θέστον,

plexus ruentem, ex quo congressu nascitur filius homines devorans? Quid commemorem Jovis filios, & quæ tragice admodum de his scriptores memoriæ prodidere? Ceterum ut constet eos non Deos sed homines fuisse, non abs re scriptores Ethnici prosapiam eorum pandunt. Aristophanes in ea Comœdia, quæ Aves inscribitur, exordiens sermonem de mundi creatione ait, in principio Ovum fuisse mundi compositionem, dicens:

*Nox zephyrinum atris ovum exclusisse sub alis*
*Fertur.*

Satyrus, qui composuit historiam populorum Alexandrinorum, initium faciens à Philopatre, qui & Ptolemæus nuncupatus est, ejus generis caput Bacchum extitisse indicat. Quamobrem eam tribum Ptolemæus primam esse voluit. Ceterum verba Satyri hæc sunt: Ex Baccho & Althea, quæ Thestii fuit filia, orta est Deianeira: ex hac & Hercule Jovis filio genitus est Hyllus: ex hoc Cleodemus, ex hoc Aristomachus, ex hoc Temenus, ex hoc Ceisus, ex hoc Maron, ex hoc The-

Theſtius, ex hoc Acous, ex hoc Ariſtomidas, ex hoc Caranus, ex hoc Cœnus, ex hoc Tyrimmas, ex hoc [a] Perdiccas, ex hoc Philippus, ex hoc Aeropus, ex hoc Alcetas, ex hoc Amyntas, ex hoc Bocrus, ex hoc Meleager, ex quo Arſinoë: hæc & Lagus procrearunt Ptolemæum cognomento Sotera, ex hoc & Berenice deſcendit Ptolemæus Philadelphus, ex quo & Arſinoë exortum habet Ptolemæus [b] Evergetes: ex quo, & Berenice quæ ſimul cum eo Cyrenem gubernavit, originem trahit Ptolemæus Philadelphus. Regum Alexandrinorum cum Baccho cognatio in hunc modum ſe habet; unde & in Dionyſiaca tribu populi inter ſeſe ſunt diſcreti. Althes, ab ea quæ juncta fuit Baccho, & extitit filia Theſtii. Althea, Deianeiræ ex filia Bacchi & Althea, uxore vero Herculis.

Hinc

---

*a* Hic ſuccedere debuit Argæus, quem Scriptores fere omnes agnoſcunt. *b* Nullum eſt offendiculum in quod certius impingunt librarii, quam in vocum ſimilium in eadem periodo concurſu, ubi oculo ab apographo ad exemplar reflexo, prima voce deſcripta, ad ſecundam intermediis omiſſis deſcenditur; id hic loci contigiſſe minime dubium, tres enim Ptolemæi qui inter Evergeten primum & ſecundum intercedere debuerant,

Θέσιον, τοῦ δὲ Ἀκοόν, τοῦ δὲ Ἀρισομίδαν, τοῦ δὲ Καρανόν, τοῦ δὲ Κοινόν, τοῦ δὲ Τυρίμμαν, τοῦ δὲ Περδίκκαν, τοῦ δὲ Φίλιππον, τοῦ δὲ Ἀέροπον, τοῦ δὲ Ἀλκέταν, τοῦ δὲ Ἀμύνταν, τοῦ δὲ Βόκρον, τοῦ δὲ Μελέαγρον, τοῦ δὲ Ἀρσινόην· τῆς δὲ καὶ Λάγου, Πτολεμαῖον τὸν καὶ Σωτῆρα, τῆς δὲ καὶ Βερενίκης Πτολεμαῖον τὸν Φιλάδελφον, τοῦ δὲ καὶ Ἀρσινόης Πτολεμαῖον τὸν Εὐεργέτην, τοῦ δὲ καὶ Βερενίκης τῆς μέγα τοῦ ἐν Κυρήνῃ βασιλεύσαντος Πτολεμαῖον τὸν [a] Φιλάδελφον. ἡ μὲν οὖν πρὸς Διόνυσον τοῖς Ἀλεξανδρείᾳ βασιλεύσασι συγγένεια οὕτω περιέχει. ὅθεν καὶ ἐν τῇ Διονυσίᾳ φυλῇ δῆμοι εἰσὶ κατακεχωρεισμένοι. Ἀλθηΐς, ἀπὸ τῆς γενομένης γυναικὸς Διονύσου, θυγατρὸς δὲ Θεστίου· Ἀλθέας, Δηϊανείρης ἀπὸ τῆς θυγατρὸς Διονύσου καὶ Ἀλθέας, γυναικὸς δὲ Ἡρακλέους.

debuerant, & quos Satyrus intermisisse non est putandus, hic desiderantur.. Strom. 1. Clemens qui in rebus Alexandrinis hospes non erat, ut & Euseb. in Chron. post Evergeten primum, Philopat. Epiphan. Philomet. numerant, & tum demum ad Evergeten secundum deveniunt. Pari compendio reges Macedonici recensentur; qui enim à Diodoro, Dexippo, Eusebio, & Syncello viginti quatuor numerantur, & quingentos fere annos exhauriunt; hic vix quatuordecim efficiunt. a Horum Ptolemæorum alter Phuscus & Lathyrus; alter Apion dicebatur.

Ὅθεν

Ὅθεν καὶ τὰς προσωνυμίας ἔχουσιν οἱ κατ' αὐτὰς δῆμοι. Ἀριάδνης ἀπὸ τῆς θυγατρὸς Μίνω, γυναικὸς δὲ Διονύσου παιδός, πατροφίλας τῆς μιχθείσης Διονύσῳ ἐν μορφῇ πρυμνίδι. Θεσὶς ἀπὸ Θεσίου τοῦ Ἀλθέας πατρός. Θοαντὶς ἀπὸ Θόαντος παιδὸς Διονύσου. Σταφυλὶς ἀπὸ Σταφύλου υἱοῦ Διονύσου. Εὐαινὶς ἀπὸ Εὐνόος υἱοῦ Διονύσου. Μαρωνὶς ἀπὸ Μάρωνος υἱοῦ Ἀριάδνης καὶ Διονύσου. οὗτοι γὰρ πάντες υἱοὶ Διονύσου. ἀλλὰ καὶ ἕτεραι πολλαὶ ὀνομασίαι γεγόνασιν καὶ εἰσὶν ἕως τοῦ δεῦρο. ἀπὸ Ἡρακλέους Ἡρακλεῖδαι καλούμενοι, καὶ ἀπὸ Ἀπόλλωνος Ἀπολλωνίδαι καὶ Ἀπολλώνιοι, καὶ ἀπὸ Ποσειδῶνος Ποσειδώνιοι, καὶ ἀπὸ Διὸς Δῖοι καὶ Διογένεαι.

Καὶ τί μοι τὸ λοιπὸν τὸ πλῆθος τῶν τοιούτων ὀνομασιῶν καὶ γενεαλογιῶν καταλέγειν; ὥστε κατὰ πάντα τρόπον ἐμπαίζονται οἱ συγγραφεῖς πάντες καὶ ποιηταὶ καὶ φιλόσοφοι λεγόμενοι. ἔτι μὴν καὶ οἱ προσέχοντες αὐτοῖς. μύθους γὰρ μᾶλλον καὶ μωρίας συνέταξαν περὶ τῶν κατ' αὐτοὺς θεῶν. οὐ γὰρ ἀπέδειξαν αὐτοὺς θεούς, ἀλλὰ ἀνθρώπους, οὓς μὲν μεθύσους, ἑτέρους πόρνους καὶ φονεῖς. ἀλλὰ καὶ περὶ τῆς κοσμογονίας,

Hinc tribus, quæ penes ipſos ſunt inſtitutæ, adhuc ea nomina retinent. Ariadne nomen habet à filia Minois, quæ fuit uxor Bacchi filii: quæ adamans patrem forma obverſa cum eo concubuit. Theſtis nominatur à Theſtio Altheæ parente. Thoantis dicitur à Thoante Bacchi filio. Staphulis nominatur in hunc modum à Staphulo Bacchi filio. Euænis vero ab Eunoe filio Bacchi appellatur. Maronis nomen tenet à Marone Ariadnes & Bacchi filio. Nam hi omnes traduntur eſſe filii Bacchi. Ceterum & aliæ plurimæ denominationes factæ ſunt, quæ adhuc durant. Ab Hercule, Heraclidæ: ab Apolline, Apollonidæ & Apollonii: à Neptuno, Neptunii: à Jove, Jovii & Jove geniti ſua nomina ſunt adepti.

At quid neceſſum eſt multitudinem hujuſcemodi nominum & genealogiarum repetere? Apparet igitur magnopere decipi ſcriptores omnes, Poëtas & Philoſophos: præterea illuduntur & falluntur illi omnes, qui hoſce audiunt. Nam neſcio quas fabulas & quæ deliramenta conſuerunt de ſuis Diis. Interim nos haud Deos eſſe docent, verum homines: quoſdam ebrios, alios ſcortatores, alios vero ut homicidas inducunt. Præterea & de mundi

mundi generatione pugnantia & prava tradidere. Primo quidam mundum ingenitum asserere ausi fuerunt, quemadmodum supra significavimus. Illi qui mundum ingenitum & peculiarem quandam dixere naturam, nequaquam consentiunt cum iis qui mundum genitum esse statuunt. Nam ex conjectura & proprio ingenio, non veritate, hujuscemodi sententias protulere. Sunt qui providentiam agnoscunt, at alii horum dogmata subruerunt. Aratus ait:

*Ab Jove Musarum primordia: semper in ore*
*Plurimus ille hominum est, qui compita numine magno*
*Conciliumque virum complet, pelagusque profundum,*
*Et pelagi portus. Fruimur Jove & utimur omnes.*
*Nos genus illius, nobis ille omine læto*
*Dextera præsignat, populumque laboribus urget,*
*Consulat ut vitæ, quando sit terra ligoni*
*Aptiora ut bubus monet, & quo tempore par sit*

*Aut*

μογονίας, ἀσύμφωνα ἀλλήλοις καὶ φαῦλα ἐξεῖπον. πρῶτον μὲν ὅτι τινὲς ἀγέννητον τὸν κόσμον ἀπεφήναντο, καθὼς ἔμπροσθεν ἐδηλώσαμεν. καὶ οἱ μὲν ἀγέννητον αὐτὸν καὶ ἰδίαν φύσιν φάσκοντες, οὐκ ἀκόλουθα εἶπον τοῖς γεννητὸν αὐτὸν δογματίσασιν. εἰκασμῷ γὰρ ταῦτα καὶ ἀνθρωπίνῃ ἐννοίᾳ ἐφθέγξαντο, καὶ οὐ κατὰ ἀλήθειαν. ἕτεροι δὲ αὖ εἶπον, πρόνοιαν εἶναι, καὶ τὰ τούτων δόγματα ἀνέλυσαν. Ἄρατος μὲν οὖν φησιν·

Ἐκ Διὸς ἀρχώμεσθα, τὸν οὐδέποτ' ἄνδρες ἐῶμεν
Ἄῤῥητον· μεσταὶ δὲ Διὸς πᾶσαι μὲν ἀγυιαί,
Πᾶσαι δ' ἀνθρώπων ἀγοραί, μεστὴ δὲ θάλασσα,
Καὶ λιμένες. πάντη δὲ Διὸς κεχρήμεθα πάντες.
Τοῦ γὰρ καὶ γένος ἐσμέν, ὁ δ' ἤπιος ἀνθρώποισι
Δεξιὰ σημαίνει· λαοὺς δὲ ἐπὶ ἔργον ἐγείρει,
Μιμνήσκων βιότοιο· λέγει δ' ὅτε βῶλος ἀρίστη
Βουσί τε καὶ μακέλῃσιν. λέγει δ' ὅτε δεξιαὶ ὧραι,

Καὶ φυτὰ γυρῶσαι, καὶ σπέρματα πάντα βάλλεσθαι.

Τίνι οὖν πιστεύσωμεν; πότερον Ἀράτῳ δὲ, ἢ Σοφοκλεῖ λέγοντι·

a ——— πρόνοια δ' ἐστὶν οὐδενὸς σαφής.
Εἰκῆ κράτιστον ζῆν, ὅπως δύναιτό τις.

Ὅμηρος δὲ πάλιν τούτῳ οὐ συνάδει· λέγει γὰρ,

b Ζεὺς δ' ἀρετὴν ἄνδρεσσιν ὀφέλλει τε μινύθει τε.

Καὶ Σιμωνίδης·

Οὔ τις ἄνευθε θεῶν ἀρετὴν λάβεν, οὐ πόλις, οὐ τις
Οὐ βροτὸς, οὐ θεὸς ὃς παμμῆτις. δ' ἔστιν ἐν αὐτοῖς
Οὐδὲν ἀπήμαντον.

Ὁμοίως καὶ Εὐριπίδης,

Οὐκ ἔστιν οὐδὲν χωρὶς ἀνθρώποις θεοῦ.

Καὶ Μένανδρος,

Οὐκ ἄρα φροντίζει τις ἡμῶν, ἢ μόνος θεός.

Καὶ πάλιν Εὐριπίδης·

Σῶσαι γὰρ ὁπόταν τῷ θεῷ δοκῇ,
Πολλὰς προφάσεις δίδωσιν εἰς σωτηρίαν.

a Soph. Oedip. Tyran. b Iliad. υ'. v. 242. Carminum rationes, quæ hic subinde desiderabantur, transpositis leviter vocibus restituimus.

Καὶ

*Aut ſerere, aut ſeptas lymphis aſpergere plantas.*

Cui igitur fidem dabimus? Arato, an Sophocli qui clamat:

*Non cura Superum eſt certa, vivere optimum*
*Extempore, ut ſors cæca miſcuit vices.*

Huic præterea Homerus non concinit: inquit enim:

*Jupiter, ut viſum, vires mortalibus addit*
*Et minuit.*

Similiter & Simonides ait:

*Virtutem accepit nemo ſine numine Divum,*
*Nulla urbs, mortalis nullus, quin nec Deus ipſe,*
*Sit licet hic ſapiens: nihil eſt ſine crimine in illis.*

Similiter & Euripides:

*Nil accidiſſe poterit, invito Deo,*
*Hominibus.*

Menander:

*Nos cura ſummi protegit ſolum Dei.*

Euripides iterum:

*Servare quando numini viſum eſt bono,*
*Prætextus illi fit ad ſalutem multiplex.*

E. Thestius:

*Tranabis æquor tegete, si id visum Deo,*
*Salvus.*

Talia quidem multa canentes, pugnantia inter se pronunciarunt. Sophocles qui alibi aperte testatur citra providentiam omnia geri, alibi inquit:

*Contra Dei ictum non data est homini fuga.*

Sed & ii qui multitudinem Deorum induxerant, aut universum ab uno administrari docuerunt, & providentiam esse; illis qui providentiam è medio sustulerant, contraria asseruere. Quapropter Euripides aperte dicit:

*Torquemur omnes, spe dum inani ducimur.*

Nescii atque inviti agnoscunt se plane ignorare veritatem. Quæ vero dixerunt, id fecerunt à dæmonibus inspirati & agitati. Ergo Poetæ Homerus & Hesiodus, qui feruntur afflati à Musis impetu quodam rapti, & impostura locuti sunt, nec Spiritu puro sed erroneo; quod hinc constat, siquidem obsessi, interdum sanantur exorcismis quæ fiunt in hoc nostro seculo nomine revera existentis Dei. Et seductores

Καὶ Θέσπις·

Θεοῦ θέλοντος κἂν ἐπὶ ῥιπὸς πλέῃς,
Σώζῃ.

Καὶ τὰ τοιαῦτα μυρία εἰπόντες, ἀσύμφωνα ἑαυτοῖς ἐξεῖπον. ὁ γοῦν Σοφοκλῆς, ἀπρονοησίαν ἐν ἑτέρῳ λέγει·

Θεοῦ δὲ πληγὴν οὐχ ὑπερπηδᾷ βροτός.

Πλὴν καὶ πληθὺν εἰσήγαγον, ἢ μοναρχίαν εἶπον καὶ πρόνοιαν εἶναι, τοῖς λέγουσιν ἀπρονοησίαν τἀναντία εἰρήκασιν. ὅθεν Εὐριπίδης ὁμολογεῖ λέγων,

Σπουδάζομεν δὲ πολλὰ ὑπ' ἐλπίδων μάτην
Πόνους ἔχοντες.

Οὐδὲν εἰδότες καὶ μὴ θέλοντες ὁμολογοῦσι τὸ ἀληθὲς μὴ ἐπίστασθαι· ὑπὸ δαιμόνων δὲ ἐμπνευσθέντες, καὶ ὑπ' αὐτῶν φυσιωθέντες, ἃ εἶπον, δι' αὐτῶν εἶπον. ἤτοι γὰρ οἱ ποιηταὶ, Ὅμηρος δὴ καὶ Ἡσίοδος, ὥς φασιν, ὑπὸ Μουσῶν ἐμπνευσθέντες, φαντασίᾳ καὶ πλάνῃ ἐλάλησαν, καὶ οὐ καθαρῷ πνεύματι, ἀλλὰ πλάνῳ. ἐκ τούτου δὲ σαφῶς δείκνυται, εἰ καὶ οἱ δαιμονῶντες ἐνίοτε καὶ μέχρι τοῦ δεῦρο [a] ἐξορκίζονται κατὰ τοῦ ὀνόματος τοῦ ὄντος Θεοῦ, καὶ

[a] Similia habent Tertul. in Apol. Cypr. ad Donat. aliique è Pat.

ὁμολογεῖ αὐτὰ τὰ πλάνα πνεύματα, εἶναι δαίμονες, οἳ καὶ τότε εἰς ἐκείνους ἐνεργήσαντες.

Πλὴν ἐνίοτέ τινες τῇ ψυχῇ ἐκνήψαντες ἐξ αὐτῆς, εἶπον ἀκόλουθα τοῖς προφήταις· ὅπως εἰς μαρτύριον αὐτοῖς τε καὶ πᾶσιν ἀνθρώποις, περί τε Θεοῦ μοναρχίας καὶ κρίσεως, καὶ τῶν λοιπῶν ὧν ἔφασαν· οἱ δὲ τοῦ Θεοῦ ἄνθρωποι πνευματοφόροι πνεύματος ἁγίου, καὶ προφῆται γενόμενοι, ὑπ' αὐτοῦ τοῦ Θεοῦ ἐμπνευσθέντες, καὶ σοφισθέντες ἐγένοντο θεοδίδακτοι, καὶ ὅσιοι καὶ δίκαιοι. διὸ καὶ κατηξιώθησαν τὴν ἀντιμισθίαν ταύτην λαβεῖν, ὄργανα Θεοῦ γενόμενοι, καὶ χωρήσαντες σοφίαν τὴν παρ' αὐτοῦ, δι' ἧς σοφίας εἶπον καὶ τὰ περὶ τῆς κτίσεως τοῦ κόσμου, καὶ τῶν λοιπῶν ἁπάντων. καὶ γὰρ περὶ λοιμῶν καὶ λιμῶν καὶ πολέμων προεῖπον. καὶ οὐχ εἷς ἢ δύο, ἀλλὰ πλείονες κατὰ χρόνους καὶ καιροὺς ἐγενήθησαν παρὰ Ἑβραίοις· ἀλλὰ καὶ παρὰ Ἕλλησιν Σίβυλλα.

Καὶ πάντες φίλα ἀλλήλοις καὶ σύμφωνα εἰρήκασι, τά τε πρὸ αὐτῶν γεγενημένα, καὶ τὰ κατ' αὐτοὺς γεγονότα, καὶ τὰ καθ' ἡμᾶς νυνὶ τελειούμενα· διὸ καὶ πεπείσμεθα

seductores illi spiritus confitentur se esse dæmones, qui eos tunc obsidebant.

Et licet quidam ex Poetarum cœtu, animum recolligentes, depromsere interdum & Prophetarum vocibus consona, videlicet de unitate Dei ejusque judicio: necnon de reliquis, de quibus sermonem habuerunt, quæ tum ipsis tum omnibus mortalibus in testimonium cedunt: ceterum Dei homines pleni Spiritu sancto, & à Deo inspirati institutique, Prophetæ ordinati sunt: proinde fuere à Deo docti, sancti justique. Quapropter digni habiti sunt hac mercede ut essent organa Dei, à quo accipientes sapientiam, locuti sunt de creatione mundi, & reliquis omnibus. Siquidem eorum Prophetiæ habentur de fame, de peste, & de bellis. Nec est ut quis putet unum solum aut duos fuisse: sed plurimi fuere suis temporibus & seculis apud Hebræos, ut & inter Græcos Sibylla.

Prophetæ profecto omnes consonantia inter se dixerunt; de præteritis, & quæ ipsis viventibus fierent, & quæ nunc apud nos efficiuntur:

tur: ut non dubitemus de futuris, quin ſint eventura, quemadmodum priora contigere omnia. Jam primum omnium, conſenſu magno nos docuerunt, Deum ex nihilo omnia creaſſe. Nihil enim ſimul cum Deo adolevit, ſed ipſe ſibi locus, nullius indigens, & ante ſecula ſubſiſtens, hominem, à quo cognoſceretur, condere voluit. Huic ergo præparavit mundum. Is enim genitus, proinde egens eſt: ipſe vero ingenitus, nullius rei eget.

Deus igitur habens verbum mentis ſuæ in ſuis viſceribus, genuit eum eructans illum ſua ſapientia, ante hæc univerſa. Hoc verbo uſus eſt in mundi creatione, & omnia per ipſum fecit. Hic principium dicitur, quia omnium principatum & dominium obtinet quæ per ipſum facta ſunt. Hic igitur exiſtens Spiritus Dei, principium & ſapientia, altiſſimique potentia, deſcendit in Prophetas, & per illos de mundi creatione & reliquis omnibus loquutus eſt. Non enim erant Prophetæ, cum mundus crearetur: ſed ſapientia Dei, quæ in ipſo eſt, & verbum

πείσμεθα καὶ περὶ τῶν μελλόντων οὕτως ἔσεσθαι, καθὼς καὶ τὰ πρῶτα ἀπήρτισαι. καὶ πρῶτον μὲν συμφώνως ἐδίδαξαν ἡμᾶς, ὅτι ἐξ οὐκ ὄντων τὰ πάντα ἐποίησεν. οὐ γάρ τι τῷ θεῷ συνήκμασεν, ἀλλ' αὐτὸς ἑαυτοῦ τόπος ὢν, καὶ ἀνενδεὴς ὢν, καὶ ὑπάρχων πρὸ τῶν αἰώνων, ἠθέλησεν ἄνθρωπον ποιῆσαι ᾧ γνωσθῇ. τούτῳ οὖν προητοίμασε τὸν κόσμον. ὁ γὰρ γενητὸς καὶ προσδεής ἐστιν· ὁ δὲ ἀγένητος, οὐδενὸς προσδεῖται.

Ἔχων οὖν ὁ θεὸς τὸν ἑαυτοῦ λόγον ἐνδιάθετον ἐν τοῖς ἰδίοις σπλάγχνοις, ἐγέννησεν αὐτὸν μετὰ τῆς ἑαυτοῦ σοφίας ἐξερευξάμενος πρὸ τῶν ὅλων. τοῦτον τὸν λόγον ἔσχεν ὑπουργὸν τῶν ὑπ' αὐτοῦ γεγενημένων, καὶ δι' αὐτοῦ τὰ πάντα πεποίηκεν. οὗτος λέγεται ἀρχὴ, ὅτι ἄρχει καὶ κυριεύει πάντων τῶν δι' αὐτοῦ δεδημιουργημένων. οὗτος οὖν ὢν [a] πνεῦμα θεοῦ, καὶ ἀρχὴ καὶ σοφία, καὶ δύναμις ὑψίστου κατήρχετο εἰς τοὺς προφήτας, καὶ δι' αὐτῶν ἐλάλει τὰ περὶ τῆς ποιήσεως τοῦ κόσμου καὶ τῶν λοιπῶν ἁπάντων. οὐ γὰρ ἦσαν οἱ προφῆται ὅτε ὁ κόσμος ἐγίνετο, ἀλλὰ ἡ σοφία ἡ ἐν αὐτῷ οὖσα ἡ τοῦ θεοῦ,

---

[a] Ita veteres loqui amant; ut filius sit Spiritus Patris, Spiritus sanctus vero, sit Patris & Filii Spiritus. Uterque autem per Prophetas sit locutus.
[b] Psal. 45. 1.

καὶ

καὶ ὁ λόγος ὁ ἅγιος αὐτοῦ ὁ ἀεὶ συμπαρὼν αὐτῷ. διὸ δὴ καὶ διὰ Σολομῶνος προφήτου οὕτω λέγει· [a] ἡνίκα δὲ ἡτοίμασε τὸν οὐρανὸν, συμπαρήμην αὐτῷ, [b] καὶ ὡς ἰσχυρὰ ἐποίει τὰ θεμέλια τῆς γῆς, ἤμην παρ' αὐτῷ ἁρμόζουσα. Μωσῆς δὲ ὁ καὶ Σολομῶνος πρὸ πολλῶν ἐτῶν γενόμενος, μᾶλλον δὲ ὁ λόγος ὁ τοῦ θεοῦ ὡς δι' ὀργάνου δι' αὐτοῦ φησιν, [c] ἐν ἀρχῇ ἐποίησεν ὁ θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν. πρῶτον ἀρχὴν καὶ ποίησιν ὠνόμασεν· εἶθ' οὕτως τὸν θεὸν συνέστησεν. οὐ γὰρ ἀργῶς χρὴ καὶ ἐπὶ κενῷ θεὸν ὀνομάζειν. προῄδει γὰρ ἡ θεία σοφία μέλλειν φλυαρεῖν τινας, καὶ πληθὺν θεῶν ὀνομάζειν τῶν οὐκ ὄντων. ὅπως οὖν ὁ τῷ ὄντι θεὸς διὰ ἔργων νοηθῇ, καὶ ὅτι ἐν τῷ λόγῳ αὐτοῦ ὁ θεὸς πεποίηκε τὸν οὐρανὸν καὶ τὴν γῆν, καὶ τὰ ἐν αὐτοῖς, ἔφη· ἐν ἀρχῇ ἐποίησεν ὁ θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν. εἶτα εἰπὼν τὴν ποίησιν αὐτῶν, δηλοῖ ἡμῖν· ἡ δὲ γῆ ἦν ἀόρατος καὶ ἀκατασκεύαστος καὶ σκότος ἐπάνω τῆς ἀβύσσου, καὶ πνεῦμα θεοῦ ἐπεφέρετο ἐπάνω τοῦ ὕδατος.

Ταῦτα ἐν πρώτοις διδάσκει ἡ θεία

[a] Prov. 8. 27. [b] v. 29. [c] Gen. 1. 1.

γραφὴ

bum ejus ſanctum quod cum eo ſemper erat. Quapropter per Solomonem Prophetam ſic fatur: *Cum ipſe præpararet cœlos, aderam: & cum firmaret terræ fundamenta, aderam: ſimul cum eo ea diſponens.* Moſes vero, qui multis annis præceſſit Solomonem, imo verbum Dei per Moſen tanquam per organum, dixit: *In principio creavit Deus cœlum & terram.* Primo quidem principium & ejus creationem nominavit: deinde ipſum Deum poſuit. Non enim fas eſt Deum temere & otioſe nominare. Nam Divina ſapientia prænoverat fore qui ineptias effutirent, & multitudinem Deorum falſorum introducerent: ut igitur Deus, qui vere eſt, ex operibus ſuis deprehenderetur, & conſtaret Deum verbo ſuo creaſſe cœlum & terram, ſcriptum eſt: *In principio creavit Deus cœlum & terram.* Poſtea ut eorum creatio pateret, ait: *Terra autem erat informis & inanis, & tenebræ erant ſuper faciem abyſſi, & Spiritus Dei movebat ſe ſuper faciem aquarum.*

Hæc inprimis ſacra Scriptura docet

cet quomodo materia genita à Deo fuerit creata, ex qua mundum conſtituit & ordinavit. Ceterum principium creationis lux eſt. Siquidem exornata & in mundum producta, lux manifeſtat. Quapropter inquit Moſes: '& 'dixit Deus, Fiat lux, ut quæ plurimum eſſet profutura homini: '& diſtin-'xit Deus inter lucem & tenebras. Vo-'cavitque Deus lucem, diem, & tene-'bras vocavit noctem: & fuit veſpera, 'fuitque mane dies unus. Et dixit 'Deus, Fiat firmamentum in medio 'aquarum, & dividat aquas ab a-'quis. Et fecit Deus firmamentum, 'diſtinxitque inter aquas quæ e-'rant ſub firmamento, & inter aquas 'quæ erant ſupra firmamentum, 'factumque eſt ita. Et vocavit Deus 'firmamentum, cœlum: & fuit veſpe-'ra, fuitque mane dies ſecundus. Et 'dixit Deus, Congregentur aquæ ſub 'cœlis in locum unum, ut videri poſſit 'arida: factumque eſt ita. Et voca-'vit Deus aridam terram, & collectio-

'nem

γραφὴ τρόπῳ τινὶ ὕλην γενητὴν ὑπὸ τοῦ θεοῦ γεγονυῖαν, ἀφ᾽ ἧς πεποίηκε καὶ δεδημιούργηκεν ὁ θεὸς τὸν κόσμον. ἀρχὴ δὲ τῆς ποιήσεως φῶς ἐστιν. ἐπειδὴ τὰ κοσμούμενα τὸ φῶς φανεροῖ. διὸ λέγει· [a] καὶ εἶπεν ὁ θεὸς, γενηθήτω φῶς, καὶ ἐγένετο φῶς, καὶ εἶδεν ὁ θεὸς τὸ φῶς ὅτι καλὸν, δηλονότι καλὸν ἀνθρώπῳ γεγονός. καὶ διεχώρισεν ἀνὰ μέσον τοῦ φωτὸς, καὶ ἀνὰ μέσον τοῦ σκότους, καὶ ἐκάλεσεν ὁ θεὸς τὸ φῶς ἡμέραν, καὶ τὸ σκότος ἐκάλεσε νύκτα· καὶ ἐγένετο ἑσπέρα καὶ ἐγένετο πρωΐ, ἡμέρα μία. καὶ εἶπεν ὁ θεὸς, γενηθήτω στερέωμα ἐν μέσῳ τοῦ ὕδατος, καὶ ἔστω διαχωρίζον ἀνὰ μέσον ὕδατος καὶ ὕδατος, καὶ ἐγένετο οὕτως. καὶ ἐποίησεν ὁ θεὸς τὸ στερέωμα, καὶ διεχώρισεν ὁ θεὸς ἀνὰ μέσον τοῦ ὕδατος, ὃ ἦν ὑποκάτω τοῦ στερεώματος καὶ ἀνὰ μέσον τοῦ ὕδατος, τοῦ ἐπάνω τοῦ στερεώματος, καὶ ἐκάλεσεν ὁ θεὸς τὸ στερέωμα οὐρανὸν, καὶ εἶδεν ὁ θεὸς ὅτι καλόν· καὶ ἐγένετο ἑσπέρα, καὶ ἐγένετο πρωΐ, ἡμέρα δευτέρα. καὶ εἶπεν ὁ θεὸς συναχθήτω τὸ ὕδωρ τὸ ὑποκάτω τοῦ οὐρανοῦ εἰς συναγωγὴν μίαν, καὶ ὀφθήτω ἡ ξηρά, καὶ ἐγένετο οὕτω. καὶ συνήχθη τὸ ὕδωρ τὸ ὑποκάτω τοῦ οὐρανοῦ εἰς τὰς συναγωγὰς αὐτῶν, καὶ ὤφθη ἡ ξηρὰ, καὶ ἐκάλεσεν ὁ θεὸς τὴν ξηρὰν γῆν, καὶ τὰ

[a] Gen. 1. 3, 4, &c.

συστήματα τῶν ὑδάτων ἐκάλεσε θαλάσσας· καὶ εἶδεν ὁ θεὸς ὅτι καλόν. καὶ εἶπεν ὁ θεὸς, βλαστησάτω ἡ γῆ βοτάνην χόρτου σπεῖρον σπέρμα κατὰ γένος καὶ καθ' ὁμοιότητα, καὶ ξύλον κάρπιμον ποιοῦν καρπὸν, οὗ τὸ σπέρμα αὐτοῦ ἐν αὐτῷ κατὰ γένος ἐπὶ τῆς γῆς, καὶ ἐγένετο οὕτως. καὶ ἐξήνεγκεν ἡ γῆ βοτάνην χόρτου, σπεῖρον σπέρμα κατὰ γένος καὶ καθ' ὁμοιότητα, καὶ ξύλον κάρπιμον ποιοῦν καρπὸν, οὗ τὸ σπέρμα αὐτοῦ ἐν αὐτῷ κατὰ γένος ἐπὶ τῆς γῆς· καὶ εἶδεν ὁ θεὸς ὅτι καλὸν· καὶ ἐγένετο ἑσπέρα καὶ ἐγένετο πρωΐ, ἡμέρα τρίτη. καὶ εἶπεν ὁ θεὸς, γενηθήτωσαν φωστῆρες ἐν τῷ στερεώματι τοῦ οὐρανοῦ, εἰς φαῦσιν ἐπὶ τῆς γῆς, ὥστε διαχωρείζειν ἀνὰ μέσον τῆς ἡμέρας, καὶ ἀνὰ μέσον τῆς νυκτὸς, καὶ ἔστωσαν εἰς σημεῖα, καὶ εἰς καιροὺς, καὶ εἰς ἡμέρας, καὶ εἰς ἐνιαυτοὺς, καὶ ἔστωσαν εἰς φαῦσιν τῷ στερεώματι τοῦ οὐρανοῦ, ὥστε φαίνειν ἐπὶ τῆς γῆς, καὶ ἐγένετο οὕτως. καὶ ἐποίησεν ὁ θεὸς τοὺς δύο φωστῆρας τοὺς μεγάλους, τὸν φωστῆρα τὸν μέγαν εἰς ἀρχὰς τῆς ἡμέρας, καὶ τὸν φωστῆρα τὸν ἐλάσσω εἰς ἀρχὰς τῆς νυκτὸς, καὶ τοὺς ἀστέρας· καὶ ἔθετο αὐτοὺς ὁ θεὸς ἐν τῷ στερεώματι τοῦ οὐρανοῦ, ὥστε φαίνειν ἐπὶ τῆς γῆς, καὶ ἄρχειν τῆς ἡμέρας καὶ τῆς νυκτὸς, καὶ διαχωρείζειν ἀνὰ μέσον τοῦ φωτὸς, καὶ ἀνὰ μέσον τοῦ σκότους. καὶ εἶδεν ὁ

θεὸς

'nem aquarum vocavit maria, & vi-
'dit Deus quod esset bonum. Et di-
'xit Deus, germinet terra herbam vi-
'rentem, seminantem semen secundum
'genus & secundum similitudinem, &
'lignum frugiferum faciens fructum
'juxta speciem suam, cujus semen in se-
'metipso sit super terram: & factum est
'ita. Et prodire fecit terra herbam vi-
'rentem, seminantem semen juxta spe-
'ciem suam, & arborem facientem fru-
'ctum, cujus semen fuit in semetipsa
'juxta speciem suam in terra, & vidit
'Deus quod esset bonum, Factaque est
'vespera, & factum est mane dies ter-
'tius. Dixit vero Deus: Fiant luminaria
'in firmamento coeli ad illuminatio-
'nem super terram, & distinctionem
'faciant inter diem & inter noctem: &
'sint in signa, & in certa tempora, & in
'dies atque in annos: & sint ad illumi-
'nationem in firmamento cœli, ut lu-
'men præbeant super terram & factum
'est ita. Fecit autem Deus duo lumina-
'ria magna, luminare majus, in domini-
'um diei: & luminare minus, in domini-
'um noctis, & stellas. Posuitq; ea Deus
'in firmamento cœli, ut lucem præbe-
'rent super terram: & ut dominarentur
'in diem atq; noctem, & distinctionem
'facerent inter lucem & inter tenebras:

'& vidit Deus quod esset bonum: Et 'fuit vespera, fuitq; mane dies quartus. 'Et dixit Deus: Educant aquæ repti- 'le animæ viventis: & aves quæ voli- 'tent super terram, in facie firmamen- 'ti cœli: & factum est ita. Et creavit 'Deus cetos magnos: & omnem ani- 'mam reptilium animalium, quam e- 'duxerunt aquæ juxta speciem suam,& 'omnem avem pennatam, juxta speci- 'em suam: & vidit Deus quia bona sunt, '& benedixit illis, dicens: crescite & 'multiplicamini, & implete aquas in 'mari, & aves multiplicentur in terra. 'Et fuit vespera fuitq; mane dies quin- 'tus. Et dixit Deus: Producat terra a- 'nimam viventem secundum speciem 'suam, quadrupedia, reptilia & be- 'stias terræ secundum speciem suam: '& factum est ita. Et fecit Deus bestias 'terræ juxta speciem suam, & jumenta 'secundum speciem suam, & omne 'quod reptat juxta speciem suam; '& vidit Deus quod esset bonum. 'Dixitque Deus: Faciamus homi- 'nem in imagine nostra, secundum 'similitudinem nostram, & domi- 'netur in piscem maris, & in volu- 'crem cœli,& in jumentum,& in om- 'nem terram, & in omne reptile quod

'reptat

θεὸς ὅτι καλόν· καὶ ἐγένετο ἑσπέρα καὶ ἐγένετο πρωΐ, ἡμέρα τετάρτη. καὶ εἶπεν ὁ θεὸς, ἐξαγαγέτω τὰ ὕδατα ἑρπετὰ ψυχῶν ζωσῶν, καὶ πετεινὰ πετόμενα ἐπὶ τῆς γῆς, κατὰ τὸ στερέωμα τοῦ οὐρανοῦ, καὶ ἐγένετο οὕτως. καὶ ἐποίησεν ὁ θεὸς τὰ κήτη τὰ μεγάλα, καὶ πᾶσαν ψυχὴν ζώων ἑρπετῶν, ἃ ἐξήγαγε τὰ ὕδατα κατὰ γένη αὐτῶν, καὶ πᾶν πετεινὸν πτερωτὸν κατὰ γένος· καὶ εἶδεν ὁ θεὸς ὅτι καλὰ, καὶ εὐλόγησεν αὐτὰ ὁ θεὸς λέγων, αὐξάνεσθε καὶ πληθύνεσθε, καὶ πληρώσατε τὰ ὕδατα τῆς θαλάσσης· καὶ τὰ πετεινὰ πληθυνέτω ἐπὶ τῆς γῆς, καὶ ἐγένετο ἑσπέρα καὶ ἐγένετο πρωΐ, ἡμέρα πέμπτη. καὶ εἶπεν ὁ θεὸς, ἐξαγαγέτω ἡ γῆ ψυχὴν ζῶσαν κατὰ γένος, τετράποδα, καὶ ἑρπετὰ, καὶ θηρία τῆς γῆς κατὰ γένος· καὶ ἐγένετο οὕτως· καὶ ἐποίησεν ὁ θεὸς τὰ θηρία τῆς γῆς κατὰ γένος, καὶ τὰ κτήνη κατὰ γένος αὐτῶν, καὶ πάντα τὰ ἑρπετὰ κατὰ γένος· καὶ εἶδεν ὁ θεὸς ὅτι καλά. καὶ εἶπεν ὁ θεὸς, ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα ἡμετέραν, καὶ καθ' ὁμοίωσιν, καὶ ἀρχέτωσαν τῶν ἰχθύων τῆς θαλάσσης, καὶ τῶν πετεινῶν τοῦ οὐρανοῦ, καὶ τῶν κτηνῶν, καὶ πάσης τῆς γῆς, καὶ πάντων τῶν ἑρπετῶν τῶν ἑρ-

πόντων ἐπὶ τῆς γῆς. καὶ ἐποίησεν ὁ Θεὸς τὸν ἄνθρωπον, κατ' εἰκόνα Θεοῦ ἐποίησεν αὐτὸν, ἄρσεν καὶ θῆλυ ἐποίησεν αὐτοὺς, καὶ εὐλόγησεν αὐτοὺς ὁ Θεὸς, λέγων, αὐξάνεσθε καὶ πληθύνεσθε, καὶ πληρώσατε τὴν γῆν, καὶ κατακυριεύσατε αὐτῆς, καὶ ἄρχετε τῶν ἰχθύων τῆς θαλάσσης, καὶ τῶν πετεινῶν τοῦ οὐρανοῦ, καὶ πάντων τῶν κτηνῶν, καὶ πάσης τῆς γῆς, καὶ πάντων τῶν ἑρπετῶν τῶν ἑρπόντων ἐπὶ τῆς γῆς. καὶ εἶπεν ὁ Θεός· ἰδοὺ δέδωκα ὑμῖν πάντα χόρτον σπόριμον, σπεῖρον σπέρμα. ὅ ἐστιν ἐπάνω πάσης τῆς γῆς, καὶ πᾶν ξύλον ὃ ἔχει ἐν αὐτῷ καρπὸν σπέρματος σπορίμου, ὑμῖν ἔσται εἰς βρῶσιν, καὶ πᾶσι τοῖς θηρίοις τῆς γῆς, καὶ πᾶσι τοῖς πετεινοῖς τοῦ οὐρανοῦ, καὶ παντὶ ἑρπετῷ ἕρποντι ἐπὶ τῆς γῆς, ὃ ἔχει ἐν αὐτῷ [a] πνοὴν ζωῆς, καὶ πάντα χόρτον χλωρὸν εἰς βρῶσιν, καὶ ἐγένετο οὕτως. καὶ εἶδεν ὁ Θεὸς τὰ πάντα ὅσα ἐποίησε, καὶ ἰδοὺ καλὰ λίαν, καὶ ἐγένετο ἑσπέρα καὶ ἐγένετο πρωΐ, ἡμέρα ἕκτη. καὶ συνετελέσθησαν ὁ οὐρανὸς καὶ ἡ γῆ, καὶ πᾶς ὁ κόσμος αὐτῶν. καὶ συνετέλεσεν ὁ Θεὸς ἐν τῇ ἡμέρᾳ τῇ ἕκτῃ τὰ ἔργα αὐτοῦ, ἃ ἐποίησε, καὶ κατέπαυσεν ἐν τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ, ἀπὸ πάντων τῶν ἔργων αὐτοῦ, ὧν ἐποίησε. καὶ

[a] LXX. ψυχὴν.

εὐλό-

'reptat ſuper terram. Creavit itaque 'Deus hominem in imagine ſua, in 'imagine Dei creavit eum, maſculum '& fœminam creavit eos. Et benedi-'xit illis Deus, dixitque ad eos: creſci-'te & multiplicamini, implete terram, 'atque ſubjicite eam: & dominamini 'in piſcem maris, & in volucrem cœ-'li, & in omne jumentum, & in 'univerſam terram, & in omne repti-'le quod reptat ſuper terram. Et 'dixit Deus: Ecce dedi vobis om-'nem herbam ſeminalem ſeminan-'tem ſemen, quæ eſt in ſuperficie 'univerſæ terræ, & omnem arbo-'rem, in qua eſt fructus arboris,& quæ 'ſemen ſeminet,ut ſint vobis in eſcam. 'Sed & omni beſtiæ terræ, & cuncto 'volatili cœli, atque omni reptili quod 'reptat ſuper terram, in quo eſt anima 'vivens, dedi univerſum virorem her-'bæ in cibum: & factum eſt ita. Et 'vidit Deus omne quod fecerat, & ec-'ce erat valde bonum, & facta eſt ve-'ſpera, fuitque mane dies ſextus. Et 'perfecti ſunt cœli & terra, & omnis 'ornatus illorum. Conſummavitque 'Deus in die ſeptimo opus ſuum quod 'fecerat, & quievit in die ſeptimo 'ab omni opere ſuo quod fecerat. Et

'bene-

'benedixit Deus diei ſeptimo, & ſan-
'ctificavit eum, eo quod in eo quie-
'viſſet ab omni opere ſuo, quod Deus
'facere incepit.

Ceterum operis ſex dierum nullus homo poteſt vel ordinem, vel diſpoſitionem pro dignitate eloqui, nec ſi quis haberet mille ora, totidemque linguas: neque ſi totidem annis in hac vita peregrinans viveret, vel ſic quippiam tanta materia dignum profari poſſet. Tanta eſt excellentia, magnitudo & divitiæ Divinæ ſapientiæ in præſcripto ſex dierum opere. Plurimi igitur Scriptores imitati ſunt prædicta ſex dierum opera, & de iis ſermonem facere inſtituerunt; & accepta inde occaſione, diſſeruere de mundi creatione aut hominis natura: ſed eorum ſermo ne vel ſcintillulam quidem veritatis complectitur. Ea autem quæ Hiſtorici, aut Philoſophi & Poetæ tradidere, nonnihil probabilia videntur propter verborum lenocinium; ſtulta vero & vana eorum ſcripta ſunt; ſiquidem infinitas nugas continent, nec in iis vel particulam veritatis quis cernere poteſt. Præterea ſi quando credis aliquid quod veritate nititur, ab ipſis prolatum, attamen ſem-
per

εὐλόγησεν ὁ Θεὸς τὴν ἡμέραν τὴν ἑβδόμην, καὶ ἡγίασεν αὐτήν, ὅτι ἐν αὐτῇ κατέπαυσεν ἀπὸ πάντων τῶν ἔργων αὐτοῦ, ὧν ἤρξατο ὁ Θεὸς ποιῆσαι.

Τῆς μὲν οὖν ἐξαημέρου οὐδεὶς ἀνθρώπων δυνατὸς κατ' ἀξίαν τὴν ἐξήγησιν, καὶ τὴν οἰκονομίαν πᾶσαν ἐξειπεῖν, οὐδὲ εἰ μυρία στόματα ἔχοι, καὶ μυρίας γλώσσας, ἀλλ' οὐδὲ εἰ μυρίοις ἔτεσι βιώσει τις, ἐπιδημῶν ἐν τῷδε τῷ βίῳ, οὐδὲ οὕτως ἔσται ἱκανὸς πρὸς ταῦτα ἀξίως τι εἰπεῖν, διὰ τὸ ὑπερβάλλον μέγεθος καὶ τὸ πλοῦτον τῆς σοφίας τοῦ Θεοῦ, τῆς οὔσης ἐν ταύτῃ τῇ προγεγραμμένῃ ἐξαημέρῳ. πολλοὶ μὲν οὖν τῶν συγγραφέων ἐμιμήσαντο, καὶ ἠθέλησαν περὶ τούτων διήγησιν ποιήσασθαι, καίτοι λαβόντες ἐντεῦθεν τὰς ἀφορμάς, ἤτοι περὶ κόσμου κτίσεως, ἢ περὶ φύσεως ἀνθρώπου, καὶ οὐδὲ τὸ τυχὸν ἔναυσμα ἄξιόν τι τῆς ἀληθείας ἐξεῖπον. δοκεῖ δὲ τὰ ὑπὸ τῶν φιλοσόφων ἢ συγγραφέων καὶ ποιητῶν εἰρημένα, ἀξιόπιστα μὲν εἶναι, παρὰ τὸ φράσει κεκαλλωπίσθαι· μωρὸς δὲ καὶ κενὸς ὁ λόγος αὐτῶν δείκνυται, ὅτι πολλὴ μὲν πληθὺς τῆς φλυαρίας αὐτῶν ἐστι, τὸ τυχὸν δὲ τῆς ἀληθείας ἐν αὐτοῖς οὐχ εὑρίσκεται. καὶ γὰρ εἴ τι δοκεῖ ἀληθὲς δι' αὐτῶν ἐκπεφωνῆσθαι,

πεφωνῆσθαι, σύγκρασιν ἔχει τῇ πλάνῃ. καθάπερ γὰρ φάρμακόν τι δηλητήριον συγκραθὲν μέλιτι, ἢ οἴνῳ, ἢ ἑτέρῳ τινι, τὸ πᾶν ποιεῖ βλαβερὸν καὶ ἄχρηστον· οὕτως καὶ ἡ ἐν αὐτοῖς πολυλογία εὑρίσκεται ματαιοπονία, καὶ βλάβη μᾶλλον τοῖς πειθομένοις αὐτῇ.

Ετι μὴν καὶ περὶ τῆς ἑβδόμης ἡμέρας ἣν πάντες μὲν ἄνθρωποι ὀνομάζουσιν· οἱ δὲ πλείους ἀγνοοῦσιν ὅτι παρ' Εβραίοις ὃ καλεῖται σάββατον Ελληνιστὶ ἑρμηνεύεται ἑβδομὰς [a], ἥτις εἰς πᾶν γένος ἀνθρώπων ὀνομάζεται μὲν, δι' ἣν δὲ αἰτίαν καλοῦσιν αὐτὴν οὐκ ἐπίστανται. τὸ δὲ εἰπεῖν Ησίοδον τὸν ποιητὴν ἐκ χάους γεγενῆσθαι Ερεβον, καὶ τὴν γῆν καὶ ἔρωτα κυριεύοντα τῶν κατ' αὐτόν τε θεῶν καὶ ἀνθρώπων, μάταιον καὶ ψυχρὸν τὸ ῥῆμα αὐτοῦ, καὶ ἀλλότριον πάσης ἀληθείας δείκνυται. θεὸν γὰρ οὐ χρὴ ὑφ' ἡδονῆς νικᾶσθαι. ὅπου γε καὶ οἱ σώφρονες ἄνθρωποι ἀπέχονται πάσης αἰσχρᾶς ἡδονῆς, καὶ ἐπιθυμίας κακῆς.

Αλλὰ καὶ τὸ ἐκ τῶν ἐπιγείων κάτωθεν ἄρξασθαι καὶ λέγειν τὴν ποίησιν τῶν γεγενη-

a Sic Luc. 18. 12.

μένων,

per errore corruptum eſt. Quemadmodum pharmacum aliquod mortiferum, ſi melle, vino, aut alio quodam liquore hujuſmodi temperetur, totum inutile & noxium redditur: ſic loquacitas, quæ in prædictis ſcriptis reperitur, vanus & irritus labor eſt, & maxima incommoda fert iis, qui garrulitati illorum fidem habent.

Præterea de die ſeptimo, qui inter omnes mortales celebris habetur, magna apud pleroſque ignorantia eſt. Quod enim ab Hebræis Sabbatum vocatur, Græce, ſiquis nomen interpretetur, ſeptimana dicitur. Hoc nomine mortales omnes eam appellant; at nominis cauſam neſciunt plerique. Quod Heſiodus Poeta canit ex Chao proceſſiſſe Erebum, Terram & Amorem, qui Diis quos affert hominibuſque imperat; quis neſcit ejus ſententiam eſſe vanam & frigidam, & à veritate prorſus alienam? Deum etenim voluptate vinci nequaquam oportet; ſiquidem homines ſobrii ab omni inhoneſta voluptate & mala cupidine abſtinent.

Præterea quod à terreſtribus & infimis telam creationis univerſorum exorditur,

orditur, humano more facit: ſiquidem ea omnia plane humilia & infirma ſunt reſpectu Dei. Nam homo qui in ima mundi regione eſt, ſuper terra ædificium ponere ſolet: nec niſi fundamento jacto, faſtigium ædificio imponere poteſt. Ceterum Dei potentia hinc innoteſcit, nam ex iis quæ non ſunt, facit, ut ipſi videtur, quæ facta ſunt. Quæ enim apud homines ſunt impoſſibilia, apud Deum poſſibilia habentur. Quapropter Propheta teſtatur, creationem cœli factam eſſe primo, non ut hominum more fit, ſed in modum faſtigii. Dicit enim: *In principio creavit Deus cœlum*, id eſt, per eum qui eſt principium, condidit cœlum, quemadmodum ſupra edocuimus. Terram dicens, intelligit fundamentum & quaſi pavimentum: Abyſſum nominans, aquarum multitudinem & abundantiam repræſentat. Tenebras pronuncians, ob oculos ponit caliginem, quæ cœlum creatum obſcurarunt & contexerunt, ac ſi opercula ſint aquæ cum terra. At ſpiritum, qui ferebatur ſuper aquas, largitus Deus creaturæ ut ejus opera poſſit producere viventia, non ſecus ac homini animam attribuit, tenue tenui commiſcens? Spiritus namque ſua natura tenuis eſt, itidem

μένων, ἀνθρώπινον καὶ ταπεινὸν καὶ πάνυ ἀσθενὲς τὸ ἐννόημα αὐτοῦ, ὡς πρὸς θεόν ἐστιν. Ἄνθρωπος γὰρ κάτω ὤν, ἄρχεται ἐκ τῆς γῆς οἰκοδομεῖν, καὶ οὐ πρὸς τάξιν δύναται καὶ τὸν ὄροφον ποιῆσαι, ἐὰν μὴ τὸν θεμέλιον ὑπόθηται, θεοῦ δὲ τὸ δυνατὸν ἐκ τούτου δείκνυται, ἵνα πρῶτον μὲν ἐξ οὐκ ὄντων ποιῇ τὰ γινόμενα, καθὼς βούλεται. τὰ γὰρ παρὰ ἀνθρώποις ἀδύνατα, δυνατά ἐστι παρὰ θεῷ. διὸ καὶ ὁ προφήτης πρῶτον εἴρηκε τὴν ποίησιν τοῦ οὐρανοῦ γεγενῆσθαι, τρόπον ἐπέχοντα ὀροφῆς, λέγων, ἐν ἀρχῇ ἐποίησεν ὁ θεὸς τὸν οὐρανὸν, τουτέστι διὰ τῆς ἀρχῆς γεγενῆσθαι τὸν οὐρανὸν, καθὼς ἔφθημεν δεδηλωκέναι. γῆν δὲ λέγει δυνάμει ἔδαφος καὶ θεμέλιον, ἄβυσσον δὲ τὸ πλῆθυν τῶν ὑδάτων· καὶ σκότος διὰ τὸ τὸν οὐρανὸν γεγονότα ὑπὸ τοῦ θεοῦ, ἐσκεπακέναι καθάπερ εἰ πώματα ὕδατα σὺν τῇ γῇ. πνεῦμα δὲ τὸ ἐπιφερόμενον ἐπάνω τοῦ ὕδατος ὃ ἔδωκεν ὁ θεὸς εἰς ζωογόνησιν τῇ κτίσει καθάπερ ἀνθρώπῳ ψυχὴν τῷ λεπτῷ τὸ λεπτὸν συγκεράσας. τὸ γὰρ πνεῦμα λεπτὸν καὶ τὸ ὕδωρ

λεπτὸν, ὅπως τὸ μὲν πνεῦμα τρέφῃ τὸ ὕδωρ· τὸ δὲ ὕδωρ σὺν τῷ πνεύματι τρέφῃ τὴν κτίσιν διϊκνούμενον πανταχόθεν. ἐν μὲν τὸ πνεῦμα φωτὸς τόπον ἐπέχον ἐμεσίτευε τοῦ ὕδατος καὶ τοῦ οὐρανοῦ, ἵνα τρόπῳ τινὶ μὴ κοινωνῇ τὸ σκότος τῷ οὐρανῷ ἐγγυτέρω ὄντι τοῦ θεοῦ, πρὸ τοῦ εἰπεῖν τὸν θεόν· γενηθήτω φῶς. ὥσπερ ἐν καμάρα ὁ οὐρανὸς ὢν συνεῖχε τὴν ὕλην, βώλῳ ἐοικυῖαν. καὶ γὰρ εἴρηκεν περὶ τοῦ οὐρανοῦ ἕτερος προφήτης ὀνόματι Ησαιας λέγων· [a] θεός ἐστιν ὁ ποιήσας τὸν οὐρανὸν ὡς καμάραν, καὶ διατείνας ὡς σκηνὴν κατοικεῖσθαι. ἡ διάταξις οὖν τοῦ θεοῦ τοῦτό ἐστιν ὁ λόγος αὐτοῦ φαίνων ὥσπερ λύχνος [b] ἐν οἰκήματι συνεχομένῳ ἐφώτισε τὴν ὑπ' οὐρανόν. χωρὶς μὲν τὸν κόσμον ποιήσας καὶ τὸ μὲν φῶς ὁ θεὸς ἐκάλεσεν ἡμέραν, τὸ δὲ σκότος νύκτα· ἐπεὶ τί γε ἄνθρωπος οὐκ ἂν ᾔδει καλεῖν τὸ φῶς ἡμέραν, ἢ τὸ σκότος νύκτα. ἀλλ' οὐδὲ μὲν τὰ λοιπὰ εἰ μὴ τὴν ὀνομασίαν εἰλήφει ἀπὸ τοῦ ποιήσαντος αὐτὰ θεοῦ.

Τῇ μὲν οὖν πρώτῃ ὑποθέσει τῆς ἱστορίας, καὶ γενέσεως τοῦ κόσμου εἴρηκεν ἡ ἁγία γραφὴ οὐ περὶ τούτου τοῦ στερεώματος, ἀλλὰ περὶ

a Esai. 40. 22. b 2 Pet. 1. 19.

ἑτέρου

dem & aqua ; ut Spritus nutriat aquam, & aqua addita ſpiritui nutriat creaturam univerſam, omnia permeans. Unum quidem ſpiritum qui lucis formam obtinet, inter aquam & cœlum conſtituit medium, ne tenebræ quodam modo communicarent cum cœlo quod proximum Deo eſt, antequam ipſe diceret, *Fiat lux*. Verum non ſecus ac fornix cœlum, terram glebæ aſſimilatam complectitur. Nam Propheta quidam, nomine Eſaias, de cœlo ad hunc modum fatur: *Deus qui fecit cœlum ut fornicem & extendit ut tabernaculum ad inhabitandum.* Hæc vero Dei ordinatio eſt, quaſi lucerna ſplendens in loco obſcuro, illuſtravit ſub cœlis regionem. Præterea in mundi creatione, *Lucem Deus vocavit, diem : tenebras vocavit noctem.* Nullus enim mortalis debuit lucem diem vocare, aut tenebras noctem : nec aliis quidem rebus nomina imponere; ſed nomenclaturam accepere à Deo qui eas creavit.

Primo autem loco, ubi Scriptura ſacra tractat mundi generationem, non loquitur de iſto firmamento viſibili, ſed de alio quodam cœ-

lo invisibili, secundum quod visibile hoc Firmamentum nuncupatum est, quod quidem aquæ dimidium sursum rapuit, ut in hominum usum, pluviam, imbres & rorem funderet. Reliquum aquarum dimidium relictum est terræ, ut sint flumina, fontes mariaque. Ceterum cum aqua adhuc tegeret terram, Deus per verbum suum cavernas effecit, ut aqua in unum abiret locum, & terra, quæ prius haud cernebatur, appareret.

Terra igitur quamvis oculis esset conspicua, adhuc tamen informis erat. Quapropter Deus eam instruxit & exornavit omnigenis seminibus, floribus plantisque. In his observa, ô homo, variam & diversam tum pulcritudinem tum multitudinem. Per hæc universalis hominum resurrectio demonstratur, quasi apertissimo & evidentissimo exemplo. Quis enim, si modo advertat animum, non miretur ex parvo ficus semine nasci arborem ficum; aut ex reliquis seminibus, & quidem minimis, arbores crescere maximas?

Ceterum

ἑτέρου οὐρανοῦ τοῦ ἀοράτου ἡμῖν ὄντος, μεθ' ὃν οὗτος ὁ ἀόρατος ἡμῖν οὐρανὸς κέκληται στερέωμα, ἐφ' ᾧ ἀνείληπται τὸ ἥμισυ τοῦ ὕδατος, ὅπως ᾖ τῇ ἀνθρωπότητι εἰς ὑετοὺς καὶ ὄμβροις καὶ δρόσοις. τὸ δὲ ἥμισυ τοῦ ὕδατος ὑπελείφθη ἐν τῇ γῇ εἰς ποταμοὺς, καὶ πηγὰς, καὶ θαλάσσας. ἔτι οὖν συνέχοντος τοῦ ὕδατος τὴν γῆν, μάλιστα κοίλοις τόποις ἐποίησεν ὁ θεὸς, διὰ τοῦ λόγου αὐτοῦ τὸ ὕδωρ συναχθῆναι εἰς συναγωγὴν μίαν, καὶ ὁρατὴν γενηθῆναι τὴν ξηρὰν, πρότερον γεγονυῖαν αὐτὴν ἀόρατον.

Ορατὴ οὖν ἡ γῆ γενομένη ἔτι ὑπῆρχεν ἀκατασκεύαστος. κατεσκεύασεν οὖν αὐτὴν καὶ κατεκόσμησεν ὁ θεὸς διὰ παντοδαπῶν χλοῶν καὶ σπερμάτων καὶ φυτῶν. σκόπει τὸ λοιπὸν τὴν ἐν τούτοις ποικιλίαν καὶ διάφορον καλλονὴν καὶ πληθὺν, καὶ ὅτι δι' αὐτῶν δείκνυται ἡ ἀνάστασις, εἰς δεῖγμα τῆς μελλούσης ἔσεσθαι ἀναστάσεως ἁπάντων ἀνθρώπων. τίς γὰρ κατανοήσας οὐ θαυμάσει ἐκ συκῆς κεγχραμίδος γίνεσθαι συκῆν, ἢ τῶν λοιπῶν σπερμάτων ἐλαχίστων φύειν παμμεγέθη δένδρα;

Τὸν δὲ κόσμον ἐν ὁμοιώματι ἡμῖν λέγομεν εἶναι τῆς θαλάσσης. ὥσπερ γὰρ θάλασσα, εἰ μὴ εἶχε τὴν τῶν ποταμῶν καὶ πηγῶν ἐπίῤῥυσιν καὶ ἐπιχορηγίαν εἰς τροφὴν διὰ τὴν ἁλμυρότητα αὐτῆς, πάλαι ἂν ἐκπεφρυγμένη ἦν· οὕτω καὶ ὁ κόσμος, εἰ μὴ ἐσχήκει τὸν τοῦ Θεοῦ νόμον καὶ τοὺς προφήτας βρύοντας καὶ πηγάζοντας τὴν γλυκύτητα καὶ εὐσπλαγχνίαν, καὶ δικαιοσύνην, καὶ διδαχὴν τῶν ἁγίων ἐντολῶν τοῦ Θεοῦ, διὰ τὴν κακίαν καὶ ἁμαρτίαν τὴν πληθύουσαν ἐν αὐτῷ, ἤδη ἂν ἐκλελοίπει. καὶ καθάπερ ἐν θαλάσσῃ, νῆσοι εἰσιν αἱ μὲν οἰκηταὶ καὶ εὔυδροι καὶ καρποφόροι, ἔχουσαι ὅρμους καὶ λιμένας, πρὸς τὸ τοὺς χειμαζομένους ἔχειν ἐν ἑαυτοῖς καταφυγάς· οὕτω δέδωκεν ὁ Θεὸς τῷ κόσμῳ κυμαινομένῳ καὶ χειμαζομένῳ ὑπὸ τῶν ἁμαρτημάτων τὰς συναγωγάς, λεγομένας ἐκκλησίας ἁγίας, ἐν αἷς καθάπερ λιμέσιν εὐόρμοις ἐν νήσοις, αἱ διδασκαλίαι τῆς ἀληθείας εἰσί· πρὸς ἃς καταφεύγουσιν οἱ θέλοντες σώζεσθαι ἐρασταὶ γινόμενοι τῆς ἀληθείας, καὶ βουλόμενοι ἐκφυγεῖν τὴν ὀργὴν καὶ κρίσιν τοῦ Θεοῦ. καὶ ὥσπερ αὖ νῆσοι εἰσιν ἕτεραι πετρώδεις καὶ ἄνυδροι καὶ ἄκαρποι καὶ θηριώδεις

Ceterum mundus, si rem recte reputare volumus, comparatur verissima ratione, mari. Quemadmodum enim mare, nisi haberet fontium fluminumque influxum, quibus repararetur & nutriretur, ob salsuginem suam olim esset torrefactum: Sic & mundus, ni haberet legem Dei & prophetas manantes & subinde scaturientes dulcedinem, misericordiam, justitiam & doctrinam sanctorum Dei praeceptorum, propter peccatum & malitiam, quae duo in ipso abundant; certe jamdudum interiisset. Quemadmodum etiam in mari insulae quaedam prominent habitabiles, frugiferae & irriguae, quae navalia habent & portus commodos, quo se naufragi reciperent: sic Deus dedit mundo qui peccatorum tempestatibus & naufragiis jactatur, synagogas, quas sanctas Ecclesias nominamus, in quibus tanquam in navalibus insularum opportunis, veritatis doctrinae sunt: ad quas confugiunt veritatis studiosi omnes quotquot salvari, Deique judicium & iram evitare volunt. Ut vero & aliae sunt insulae saxosae, aqua potabili vacuae, steriles, efferatae & inhabita-

inhabitabiles, quæquè plurimum damni tum navigantibus, tum etiam naufragis afferunt; in quibus naves atteruntur, & quotquot ad eas appellunt, dispereunt: ita sunt doctrinæ erroris, dico autem hæreses, quæ suos sectatores perdunt. Non enim à veritatis verbo ducuntur; verum, quemadmodum piratæ, ubi impleverunt suas naves, penetrant ad prædicta loca usque dum eas obtriverint: sic accidit ut qui à veritate aberrarunt, eosdem error perdat.

Die quarto luminaria creata sunt. Deus etenim præsciverat nugas vanorum Philosophorum, quod dicturi essent, ut Deum submoverent, omnia quæ terra profundit, fieri ex elementis. Ut ergo veritas appareat, plantæ & semina creatione sua anteverterunt elementa; quæ enim succedebant, non potuerant efficere ea quæ præcessere.

Ceterum hæc typum magni mysterii præ se ferunt. Sol etenim Deum quodammodo repræsentat, Luna vero hominem. Et ut Sol plurimum antecellit lunam potentia & gloria: sic

δεις καὶ ἀνίκητοι ἐπὶ βλάβῃ τῶν πλεόντων καὶ χειμαζομένων, ἐν αἷς τείρεται τὰ πλοῖα, καὶ ἐξαπόλλυνται ἐν αὐταῖς οἱ κατερχόμενοι· οὕτως εἰσὶν αἱ διδασκαλίαι τῆς πλάνης, λέγω δὲ τῶν αἱρέσεων αἱ ἐξαπολλύουσι τοὺς προσιόντας αὐταῖς. οὐ γὰρ ὁδηγοῦνται ὑπὸ τοῦ λόγου τῆς ἀληθείας· ἀλλὰ καθάπερ πειραταὶ ἐπὰν πληρώσωσι τὰς ναῦς, ἐπὶ τοὺς προειρημένους τόπους περιπείρουσιν ὅπως ἐξαπολέσωσιν αὐτάς, οὕτω συμβαίνει καὶ τοῖς πλανωμένοις ἀπὸ τῆς ἀληθείας ἐξαπόλλυσθαι ὑπὸ τῆς πλάνης.

Τετάρτῃ ἡμέρᾳ ἐγένοντο οἱ φωστῆρες. ἐπειδὴ ὁ θεὸς προγνώστης ὤν, ἠπίστατο τὰς φλυαείας τῶν ματαίων φιλοσόφων, ὅτι ἔμελλον λέγειν ἀπὸ τῶν στοιχείων εἶναι τὰ ἐπὶ τῆς γῆς φυόμενα, πρὸς τὸ ἀθετεῖν τὸν θεόν. ἵν' οὖν τὸ ἀληθὲς δειχθῇ, προγενέστερα γέγονεν τὰ φυτὰ καὶ τὰ σπέρματα τῶν στοιχείων [a]· τὰ γὰρ μεταγενέστερα οὐ δύναται ποιεῖν τὰ αὐτῶν προγενέστερα.

Ταῦτα δὲ δεῖγμα καὶ τύπον ἐπέχει μεγάλου μυστηρίου. ὁ γὰρ ἥλιος ἐν τύπῳ θεοῦ ἐστιν, ἡ δὲ σελήνη ἀνθρώπου. καὶ ὥσπερ ὁ ἥλιος πολὺ διαφέρει τῆς σελήνης δυνάμει

a Desiderabatur enim elementum ignis.

καὶ

καὶ δόξῃ· ἔτι πολὺ διαφέρει ὁ θεὸς τῆς ἀνθρωπότητος. καὶ καθάπερ ὁ ἥλιος πλήρης πάντοτε διαμένει μὴ ἐλάσσων γινόμενος· οὕτω πάντοτε ὁ θεὸς τέλειος διαμένει, πλήρης ὢν πάσης δυνάμεως καὶ συνέσεως, καὶ σοφίας, καὶ ἀθανασίας καὶ πάντων τῶν ἀγαθῶν. ἡ δὲ σελήνη κατὰ μῆνα φθίνει, καὶ δυνάμει ἀποθνήσκει, ἐν τύπῳ οὖσα ἀνθρώπου. ἔπειτα ἀναγεννᾶται καὶ αὔξει εἰς δεῖγμα τῆς μελλούσης ἔσεσθαι ἀναστάσεως. ὡσαύτως καὶ αἱ τρεῖς ἡμέραι τῶν φωστήρων γεγονυῖαι, τύποι εἰσὶν τῆς [a] τριάδος τοῦ θεοῦ, καὶ τοῦ λόγου αὐτοῦ, καὶ τῆς σοφίας αὐτοῦ. τετάρτη δὲ τύπος ἐστὶν ἀνθρώπου ὁ προσδεὴς τοῦ φωτὸς, ἵνα ᾖ θεὸς, λόγος, σοφία, ἄνθρωπος. διὰ τοῦτο καὶ τῇ τετάρτῃ ἡμέρᾳ ἐγενήθησαν φωστῆρες.

H

a Sapientiæ voce intelligit Theophilus Spiritum ſanctum; quemadmodum etiam locutus Irenæus l. 1. c. 19. l. 2. c. 55. l. 4. c. 7. l. 4. c. 37. Necnon Origen. contra Celſ. l. 6. Edit. Cant. p. 323. Nam ſecunda & tertia perſona, ob communem utrique tum naturam, tum deitatis participationem, porro ob conjunctam operam in novi fœderis oeconomia, & inibi chariſmatum largitione, nomina etiam acceperunt communia: ſcilicet quæ chariſmata ab ipſis conceſſa reſpiciunt. Sic alibi noſter Theophilus Filium, Spiritum Dei vocat. Si autem hic loci per ſapientiæ vocem,

ſic Deus plurimum excellit hominem. Et ut Sol plenus ſemper conſpicitur, nec unquam diminuitur: ſic Deus perpetuo perfectus exiſtit, plenus omni potentia, intellectu, ſapientia, immortalitate & reliquis bonis omnibus. Luna vero ſingulis menſibus decreſcit, ejuſque potentia emoritur, hominis conditionem oſtendens. Deinde reparatur & augetur ad deſignandam reſurrectionem futuram. Ita etiam tres dies, qui præceſſere creationem duorum luminarium, Trinitatis myſterium ſacroſanctum repræſentant, videlicet Deum, ſermonem, ſapientiam. Quartus dies, typus eſt hominis qui lumine indiget, nempe ut ſit Deus, ſermo, ſapientia, homo. Atque hæc eſt cauſa, quare quarto die luminaria ſint condita.

---

vocem, Filium intellexiſſet; non conſiſteret Trinitas perſonarum, quæ hic aperte deſignatur. Anagogica S. Scripturas interpretandi ratio, cui Theophilus noſter & alii veteres plurimum indulgent, ab Apoſtolis auctoramentum accipit, qui veteris inſtrumenti res geſtas, ad Evangelii myſteria paſſim transferunt. Cogitent hujus inſtituti irriſores, ut alia præteream, quæ Epiſt. ad Galat. c. 4. de Agare, & monte Sinai dicuntur, niſi præeunte Apoſtolo; de duplici fœdere à Deo inito, neminem facile intellecturum fuiſſe.

Verum

Verum astrorum positio & ordo, justos & pios qui servant legem Dei & præcepta, denotat. Nam illustriora astra suo splendore imitantur Prophetas. Quapropter nullo modo inclinantur, nec ex uno in alterum transcendunt locum. Astra, quæ secundum ab his locum dignitatis obtinent, referunt, quasi typus quidam, populum justum. Astra mobilia, quæ vaga ex uno in alterum locum abeunt, & Planetæ nominantur, ostendunt eos homines, qui à Deo deficiunt, ejusque legem & præcepta deserunt.

Die quinto animalia ex aqua procreata sunt, in quibus multiformis quoque Dei sapientia elucescit. Quis enim horum multitudinem variamque sobolem enumerare valet? Præterea animalia, quæ humor profert, benedictionem Dei consequuta sunt. Quare autem id fit? Ut notum sit mortalibus, fore ut pœnitentiam apprehendant & peccatorum remissionem nanciscantur per aquam & regenerationis lavacrum, quotquot accedunt ad veritatem, & regenerantur accipientes benedictionem à Deo. Ceti & volucres carnivoræ in memoriam nobis redigunt homines

avaros

Ἡ δὲ τῶν ἀστέρων θέσις, οἰκονομίαν καὶ τάξιν ἔχει τῶν δικαίων καὶ εὐσεβῶν καὶ τηρούντων τὸν νόμον καὶ τὰς ἐντολὰς τοῦ θεοῦ. οἱ γὰρ ἐπιφανεῖς ἀστέρες καὶ λαμπροί εἰσιν εἰς μίμησιν τῶν προφητῶν. διὰ τοῦτο καὶ μένουσιν ἀκλινεῖς μὴ μεταβαίνοντες εἰς τόπον ἐκ τόπου. οἱ δὲ ἑτέραν ἔχοντες τάξιν τῆς λαμπρότητος, τύποι εἰσὶν τοῦ λαοῦ τῶν δικαίων. οἱ δ' αὖ μεταβαίνοντες καὶ φεύγοντες εἰς τόπον ἐκ τόπου, οἱ καὶ πλάνητες καλούμενοι, καὶ αὐτοὶ τύπος τυγχάνουσι τῶν ἀφισταμένων ἀνθρώπων ἀπὸ τοῦ θεοῦ καταλιπόντων τὸν νόμον καὶ τὰ προστάγματα αὐτοῦ.

Τῇ δὲ πέμπτῃ ἡμέρᾳ τὰ ἐκ τῶν ὑδάτων ἐγενήθη ζῶα δι' ὧν καὶ ἐν τούτοις δείκνυται ἡ πολυποίκιλος σοφία τοῦ θεοῦ. τίς γὰρ δύναιτ' ἂν τὸ ἐν αὐτοῖς πλῆθος καὶ γονὴν παμποίκιλον ἐξαριθμῆσαι; ἔτι μὴν καὶ εὐλογήθη ὑπὸ τοῦ θεοῦ τὰ ἐκ τῶν ὑδάτων γενόμενα, ὅπως ᾖ καὶ τοῦτο εἰς δεῖγμα τοῦ μέλλειν λαμβάνειν τοὺς ἀνθρώποις μετάνοιαν καὶ ἄφεσιν ἁμαρτιῶν διὰ ὕδατος καὶ λουτροῦ παλιγγενεσίας πάντας τοὺς προσιόντας τῇ ἀληθείᾳ, καὶ ἀναγεννωμένους καὶ λαμβάνοντας εὐλογίαν παρὰ τοῦ θεοῦ. ἀλλὰ καὶ τὰ κήτη καὶ τὰ πετεινὰ τὰ σαρκοβόρα ἐν ὁμοιώματι τυγχάνει

τὴν πλεονεξίαν καὶ παράβασιν. ὥσπερ γὰρ ἐκ μιᾶς φύσεως ὄντα τὰ ἔνυδρα καὶ τὰ πετεινά, ἔνια μὲν μένει τὸ κατὰ φύσιν μὴ ἀδικοῦντα τὰ ἑαυτῶν ἀσθενέστερα, ἀλλὰ τηρεῖ νόμον τοῦ θεοῦ καὶ ἀπὸ τῶν σπερμάτων τῆς γῆς ἐσθίει· ἔνια δὲ ἐξ αὐτῶν παραβαίνει τὸν νόμον τοῦ θεοῦ σαρκοβοροῦντα, ἀδικεῖ τὰ ἑαυτῶν ἀσθενέστερα· οὕτως καὶ οἱ δίκαιοι φυλάσσοντες τὸν νόμον τοῦ θεοῦ, οὐδένα δάκνουσιν, ἢ ἀδικοῦσιν, ὁσίως καὶ δικαίως ζῶντες. οἱ δὲ ἅρπαγες καὶ φονεῖς καὶ ἄθεοι, ἐοίκασι κήτεσι, καὶ θηρείοις, καὶ πετεινοῖς τοῖς σαρκοβόροις. δυνάμει γὰρ καταπίνουσιν τοὺς ἀσθενεστέρους ἑαυτῶν. ἡ μὲν οὖν τῶν ἐνύδρων καὶ ἑρπετῶν γονὴ μετεσχηκυῖα τῆς εὐλογίας τοῦ θεοῦ οὐδὲν ἴδιον πλέον κέκτηται.

Εκτῃ δὲ ἡμέρᾳ ὁ θεὸς ποιήσας τὰ τετράποδα καὶ τὰ θηρία καὶ ἑρπετὰ τὰ χερσαῖα τὴν πρὸς αὐτὰ εὐλογίαν παρασιωπᾷ, τηρῶν τῷ ἀνθρώπῳ τὴν εὐλογίαν, ὃν ἤμελλεν ἐν τῇ ἕκτῃ ἡμέρᾳ ποιεῖν. ἅμα καὶ εἰς τύπον ἐγένοντο τάτε τετράποδα καὶ θηρεία ἐνίων ἀνθρώπων τῶν τὸν θεὸν ἀγνοούντων καὶ ἀσεβούντων, καὶ τὰ ἐπίγεια φρονούντων, καὶ μὴ μετανοούντων. οἱ γὰρ ἐπιστρέφοντες ἀπὸ τῶν ἀνομιῶν καὶ δικαίως ζῶντες, ὥσπερ πετει-

avaros & prævaricatores. Ut vero ex una radice aquatilia & volatilia procreata, quædam naturale jus observant nulli imbecilliori injuriam inferendo, verum legem Dei custodiunt, & victitant seminibus terræ; quædam vero ex illis transgrediuntur Dei legem, carnes vorant & infirmiora injuriis afficiunt: ad eundem modum justi qui legem Dei observant, neminem lædunt, neminique injuriam faciunt, sancte & juste vitam agentes. Ceterum raptores, homicidæ & impii nihil differunt à cetis [a], feris & carnivoris avibus; potenter enim devorant infirmiores. Et quidem aquatilium & reptilium soboles nacta benedictionem Dei, nihil omnino de proprio possidet.

Sexto die cum Deus conderet quadrupedia, bestias, & reptilia terrestria, reticet benedictionem, eamque reservat homini, quem sexto die creare instituerat. Ceterum quadrupedia & bestiæ exhibent homines quosdam qui Deum ignorant, impia patrant, terrena sapiunt, nec unquam pœnitentiam agunt. Nam qui convertuntur ab iniquitatibus & juste vivunt, animo quem-

---

a Ex hoc censu Balænæ eximendæ, quæ gramine vesci deprehenduntur.

admodum aves ſurſum volitant, ſuperna curantes, Deique voluntati obſequuntur. Qui vero Deum neſciunt, & impia facinora committunt, ſimiles ſunt avibus, quæ pennas quidem habent, ſed nequeunt ſurſum volare, nec verſus Deum aſſurgere: Sic & hi hominum titulo gaudentes, peccatorum ſaburra degravati, humilia & terreſtria cogitant.

Feras autem Græci nominant, θήρια, ἀπὸ τοῦ θηρεύεσθαι, id eſt, quod venando capiantur, non quod à rerum primordio noxiæ & exitiales creatæ ſunt, nam nihil noxium à Deo conditum eſt; ſed omnia bona, & valde bona; hominis vero delictum conditionem creaturarum deteriorem reddidit. Nam illæ, ſimulac homo deliquerit, prævaricatæ ſunt. Ut enim ſi paterfamilias ſapienter vitam inſtituit ſuam, omnino etiam domeſtici ordinate vivent. Sin autem herus peccarit, & ſervi pariter delinquent: pari ratione contigit, ut peccante homine rerum domino, etiam reliqua quæ in ejus miniſterium creata erant, prævaricarentur. Ubi autem homo ad naturalem ſtatum redierit, ceſſans malefacere, etiam illa in primitivam reſtituentur manſuetudinem.

Quod

ναι ἀνίπτανται τῇ ψυχῇ τὰ ἄνω φρονοῦντες καὶ εὐαρεστοῦντες τῷ θελήματι τοῦ θεοῦ. οἱ δὲ τὸν θεὸν ἀγνοοῦντες καὶ ἀσεβοῦντες, ὅμοιοί εἰσιν ὀρνέοις τοῖς πτερὰ μὲν ἔχουσι, μὴ δυναμένοις δὲ ἀνίπτασθαι, καὶ τὰ ἄνω τρέχειν τῆς θειότητος· οὕτω καὶ οἱ τοιοῦτοι ἄνθρωποι μὲν λέγονται, τὰ δὲ χαμαιφερῆ καὶ τὰ ἐπίγεια φρονοῦσι, καταβαρούμενοι ὑπὸ τῶν ἁμαρτιῶν.

Θηρία δὲ ὠνόμασται τὰ ζῶα ἀπὸ τοῦ θηρεύεσθαι· οὐχ ὡς κακὰ ἀρχῆθεν γεγενημένα ἢ ἰοβόλα, οὐ γάρ τι κακὸν γέγονεν ἀπὸ θεοῦ, ἀλλὰ τὰ πάντα καλά, καὶ καλὰ λίαν· ἡ δὲ ἁμαρτία ἡ περὶ τὸν ἄνθρωπον κεκάκωκεν αὐτά. τοῦ γὰρ ἀνθρώπου παραβάντος καὶ αὐτὰ συμπαρέβη. ὥσπερ γὰρ δεσπότης οἰκίας ἐὰν αὐτὸς εὖ πράσσῃ, ἀναγκαίως καὶ οἱ οἰκέται εὐτάκτως ζῶσιν· ἐὰν δὲ ὁ κύριος ἁμαρτάνῃ, καὶ οἱ δοῦλοι συναμαρτάνουσι. τῷ αὐτῷ τρόπῳ γέγονε καὶ τὰ περὶ τὸν ἄνθρωπον κύριον ὄντα ἁμαρτῆσαι, καὶ τὰ δοῦλα συνήμαρτεν. ὁπόταν οὖν πάλιν ὁ ἄνθρωπος ἀναδράμῃ εἰς τὸ κατὰ φύσιν, μηκέτι κακοποιῶν· κἀκεῖνα ἀποκατασταθήσεται εἰς τὴν ἀρχῆθεν ἡμερότητα.

Τὰ δὲ περὶ τῆς τοῦ ἀνθρώπου ποιήσεως ἀνέκφραστός ἐστιν ὡς πρὸς ἄνθρωπον ἡ κατ' αὐτὸν δημιουργία, καίπερ σύντομον ἔχει θεία γραφὴ τὴν κατ' αὐτὸν ἐκφώνησιν. ἐν τῷ γὰρ εἰπεῖν τὸν θεόν· ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα καὶ καθ' ὁμοίωσιν τὴν ἡμετέραν, πρῶτον μηνύει τὸ ἀξίωμα τοῦ ἀνθρώπου. πάντα γὰρ λόγῳ ποιήσας ὁ θεός, καὶ τὰ πάντα πάρεργα ἡγησάμενος, μόνον [a] ἀΐδιον καὶ ἔργον χειρῶν αὐτοῦ ἄξιον ἡγεῖται τὴν ποίησιν τοῦ ἀνθρώπου. ἔτι μὴν καὶ ὡς βοηθείας χρήζων ὁ θεὸς εὑρίσκεται λέγων· ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα καὶ καθ' ὁμοίωσιν. οὐκ ἄλλῳ δέ τινι εἴρηκε, ποιήσωμεν, ἀλλ' ἢ [b] τῷ ἑαυτοῦ λόγῳ καὶ τῇ ἑαυτοῦ σοφίᾳ. ποιήσας δὲ αὐτὸν καὶ εὐλογήσας εἰς τὸ αὐξάνεσθαι καὶ πληρῶσαι τὴν γῆν, ὑπέταξεν αὐτῷ ὑποχείρια καὶ ὑπόδουλα τὰ πάντα· προσέταξε δὲ καὶ ἔχειν τὴν δίαιταν αὐτὸν ἀρχῆθεν ἀπὸ τῶν καρπῶν τῆς γῆς, καὶ τῶν σπερμάτων, καὶ χλοῶν, καὶ ἀκροδρύων, ἅμα καὶ συνδίαιτα κελεύσας εἶναι τὰ ζῶα τῷ ἀνθρώπῳ, εἰς τὸ καὶ αὐτὰ ἐσθίειν ἀπὸ τῶν σπερμάτων ἁπάντων τῆς γῆς. οὕτω συν-

a Sic Clauseri exemplar videtur legisse, impressa habent ἰδίων ἔργον χειρῶν. b Supra osten-

τελέσας

Quod attinet ad hominis creationem, scias eam ab homine non posse sufficienter enarrari, quamvis paucis Scriptura sacra eam enunciet. Nam cum dicit Deus, *Faciamus hominem ad imaginem & similitudinem nostram*, hominis excellentiam prodit. Cum enim cetera omnia verbo constitueret Deus, & ea quasi obiter conderet, hominem existimavit solum esse opus sempiternum, suisque manibus dignum. Præterea, dum hæc loquitur, videtur ea proferre quasi auxilio aliquo egeat: *Faciamus hominem ad imaginem & similitudinem, &c.* At has voces ad neminem alium, quam ad suum verbum, suamque sapientiam dixit. Creato homini benedictionem impertitus est, ut augesceret & impleret terram omniaque ejus manui & potestati subjecit: ordinavit quoque primitus, ut victum haberet à fructibus terræ, seminibus, herbis & glandibus, quibus una vesceretur cum reliquis animalibus, quibus eadem alimenta constituit. Cum in hunc modum consummasset

---

dimus Patrem Filium & Spiritum sanctum his verbis designari.

Deus

Deus creationem cœli & terræ, maris & omnium quæ in ipsis continentur, die sexto, ab omnibus operibus quæ fecit, die septimo conquievit.

Deinde Scriptura sacra omnia quasi in summam contrahit, dicens: [a] 'Hic est liber generationis cœli '& terræ, cum fuit dies qua fecit De'us cœlum & terram, & omne viri'dem agri, antequam germinaret, & 'omnem herbam agri, antequam esset 'in terra, quia non pluerat dominus 'Deus super terram, nec erat homo 'qui coleret humum. His verbis manifestissime docet universam terram primitus irrigatam esse à Divino fonte; neque postulabat ut ab homine coleretur, sed sua sponte ex præcepto Dei omnia proferebat terra, ne homo laborando lassaretur. Ne autem quæstio inter mortales moveretur impervestigabilis super hominis formatione, cum dixisset: *Faciamus hominem*, quia creatio ejus nondum patefacta erat, Scriptura nos docet, dicens: 'Fons ascendebat de terra, & irri'gabat universam faciem terræ. For'mavit quoque dominus Deus ho-

[a] Gen. 2. 4, 5, &c.

'minem,

τελέσας ὁ θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν, καὶ τὴν θάλασσαν καὶ πάντα ὅσα ἐν αὐτοῖς ἐν τῇ ἕκτῃ ἡμέρᾳ, κατέπαυσεν ἐν τῇ ἑβδόμῃ ἡμέρᾳ ἀπὸ πάντων τῶν ἔργων αὐτοῦ ὧν ἐποίησεν.

Εἶθ' οὕτως ἀνακεφαλαιοῦται λέγουσα ἡ ἁγία γραφή, αὕτη βίβλος γενέσεως οὐρανοῦ καὶ τῆς γῆς, ὅτε ἐγένετο ἡμέρα ᾗ ἐποίησεν κύριος ὁ θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν, καὶ πᾶν χλωρὸν ἀγροῦ πρὸ τοῦ ἀνατεῖλαι, πάντα χόρτον ἀγροῦ πρὸ τοῦ γενέσθαι. οὐ γὰρ ἔβρεξεν ὁ θεὸς ἐπὶ τὴν γῆν· καὶ ἄνθρωπος οὐκ ἦν ἐργάζεσθαι τὴν γῆν. διὰ τούτου ἐμήνυσεν ἡμῖν ὅτι καὶ ἡ γῆ πᾶσα κατ' ἐκεῖνο καιροῦ ἐποτίζετο ὑπὸ πηγῆς θείας, καὶ οὐκ εἶχε χρείαν ἐργάζεσθαι αὐτὴν ἄνθρωπον· ἀλλὰ τὰ πάντα αὐτοματισμῷ ἀνέφυεν ἡ γῆ κατὰ τὴν ἐντολὴν τοῦ θεοῦ, πρὸς τὸ μὴ κοπιᾶν ἐργαζόμενον τὸν ἄνθρωπον. ὅπως δὲ καὶ ἡ πλάσις δειχθῇ, πρὸς τὸ μὴ δοκεῖν εἶναι ζήτημα ἐν ἀνθρώποις ἀνεύρετον, ἐπειδὰν εἴρητο ὑπὸ τοῦ θεοῦ, ποιήσωμεν ἄνθρωπον, καὶ οὔπω ἡ ποίησις αὐτοῦ πεφανέρωται, διδάσκει ἡμᾶς ἡ γραφὴ λέγουσα, πηγὴ δὲ ἀνέβαινεν ἐκ τῆς γῆς, καὶ ἐπότιζε πᾶν τὸ πρόσωπον τῆς γῆς, καὶ ἔπλασεν ὁ θεὸς τὸν

ἄνθρωπον

ἄνθρωπον χοῦν ἀπὸ τῆς γῆς, καὶ ἐνεφύσησεν εἰς τὸ πρόσωπον αὐτοῦ πνοὴν ζωῆς, καὶ ἐγένετο ὁ ἄνθρωπος εἰς ψυχὴν ζῶσαν. ὅθεν καὶ ἀθάνατος ἡ ψυχὴ ὠνόμασται παρὰ τοῖς πλείοσι.

Μετὰ δὲ τὸ πλάσαι τὸν ἄνθρωπον, ὁ θεὸς ἐξελέξατο αὐτῷ χωρίον ἐν τοῖς τόποις τοῖς ἀνατολικοῖς, διάφορον φωτὶ, διαυγὲς ἀέρι λαμπροτέρῳ, φυτοῖς παγκάλοις, ἐν ᾧ ἔθετο τὸν ἄνθρωπον. τὰ δὲ ῥητὰ τῆς ἱστορίας τῆς ἱερᾶς, ἡ γραφὴ οὕτω περιέχει. καὶ ἐφύτευσεν ὁ θεὸς τὸν παράδεισον ἐν Εδὲμ κατὰ ἀνατολὰς, καὶ ἔθετο ἐκεῖ τὸν ἄνθρωπον ὃν ἔπλασε, καὶ ἐξανέτειλεν ὁ θεὸς ἐκ τῆς γῆς πᾶν ξύλον ὡραῖον εἰς ὅρασιν, καὶ καλὸν εἰς βρῶσιν, καὶ τὸ ξύλον τῆς ζωῆς ἐν μέσῳ τοῦ παραδείσου, καὶ τὸ ξύλον τοῦ εἰδέναι γνωστὸν καλοῦ καὶ πονηροῦ. ποταμὸς δὲ ἐκπορεύεται ἐξ Εδὲμ ποτίζειν τὸν παράδεισον, ἐκεῖθεν ἀφορίζεται εἰς τέσσαρας ἀρχάς. ὄνομα τῷ ἑνὶ Φεισὼν· οὗτος ὁ κυκλῶν πᾶσαν τὴν γῆν Εὐιλάτ· ἐκεῖ οὗ ἐστιν χρυσίον. τὸ δὲ χρυσίον τῆς γῆς ἐκείνης καλὸν, κἀκεῖ ἐστιν ὁ ἄνθραξ καὶ ὁ λίθος ὁ πράσινος. καὶ ὄνομα τῷ ποταμῷ τῷ δευτέρῳ Γεών. οὗτος κυκλοῖ πᾶσαν τὴν γῆν Αἰθιοπίας·

'minem, pulverem de humo, & in-
'flavit in nares ejus flatum vitæ, fa-
'ctusque est homo in animam vi-
'ventem. Inde anima à plerisque dicitur immortalis.

Condito homine Deus ipsi elegit regionem in locis orientalibus, lumine coruscantem, splendido aëre illustrem, plantis variis fœcundam, in qua collocavit hominem. Verum verba sacræ historiæ sic habent :
'Plantavit insuper dominus Deus hor-
'tum in Eden ab oriente, & posuit
'illic hominem quem finxerat. Fecit
'etiam germinare dominus Deus de
'humo omnem arborem, quæ con-
'cupiscibilis erat visui, & commoda
'in cibum : & arbor vitæ erat in
'medio horti, atque arbor scientiæ
'boni & mali. Et fluvius egredie-
'batur de Eden ad irrigandum hor-
'tum, & inde dividebatur, in qua-
'tuor capita. Nomen unius Pison :
'ipse est qui circuit totam terram
'Havilath, ubi est aurum. Et aurum
'terræ illius est bonum, est quoque
'ibi Bdellium & lapis a Prasinus.
'Nomen vero fluvii secundi Gihon :
'ipse est qui circuit totam terram Æ-

a Sic LXX, Vulg. *Onychinus*.

'thiopiæ.

'thiopiæ. Porro nomen fluvii tertii 'Tigris, & hic vadit ad orientalem 'plagam Assyriæ: & quartus fluvius 'est Euphrates. Tulit itaque domi- 'nus Deus ipsum hominem quem fe- 'cit, & posuit eum in horto Eden, ut 'coleret & custodiret ipsum. Præ- 'cepitque dominus Deus ipsi Adam, 'dicens: De omni ligno horti come- 'dendo comedes: de arbore vero sci- 'entiæ boni & mali, nequaquam co- 'medes ex illa: alioqui quacunque 'die comederitis ex ea, moriendo mo- 'riemini. Et rursum dixit dominus 'Deus: Non est bonum ut sit homo 'solus, faciam illi adjutorium quod 'sit simile illi. Itaque formavit domi- 'nus Deus de humo omnem bestiam 'agri, & omne volatile cœli, adduxit- 'que ad Adam, ut videret quomodo 'appellaret illud: Omne enim quod 'ipse Adam vocabat de anima viven- 'te, illud nomen ejus erat. Igitur 'vocavit Adam nomina cuique ju- 'mento & omni volatili cœli, omni- 'que bestiæ agri: & pro Adam non 'inveniebatur adjutorium, quod esset 'coram eo. Et fecit illabi dominus 'Deus soporem in Adam, & obdor- 'mivit, tulitque unam ex costis illius,

'&

Αἰθιοπίας· καὶ ὁ ποταμὸς ὁ τρίτος, Τίγρις. οὗτος ὁ προπορευόμενος κατεναντίας Συρίων. ὁ δὲ ποταμὸς ὁ τέταρτος, Εὐφράτης. καὶ ἔλαβε κύριος ὁ θεὸς τὸν ἄνθρωπον ὃν ἔπλασε, καὶ ἔθετο αὐτὸν ἐν τῷ παραδείσῳ ἐργάζεσθαι αὐτὸν καὶ φυλάσσειν, καὶ ἐνετείλατο ὁ θεὸς τῷ Ἀδὰμ, λέγων· ἀπὸ παντὸς ξύλου τοῦ ἐν τῷ παραδείσῳ βρώσει φαγεῖ· ἀπὸ δὲ τοῦ ξύλου τοῦ γινώσκειν καλὸν καὶ πονηρὸν, οὐ φάγεσθε ἀπ' αὐτοῦ. ᾗ δ' ἂν ἡμέρᾳ φάγησθε ἀπ' αὐτοῦ, θανάτῳ ἀποθανεῖσθε. καὶ εἶπε κύριος ὁ θεὸς, οὐ καλὸν εἶναι τὸν ἄνθρωπον μόνον· ποιήσωμεν αὐτῷ βοηθὸν κατ' αὐτόν. καὶ ἔπλασεν ὁ θεὸς ἔτι ἐκ τῆς γῆς πάντα τὰ θηρία τοῦ ἀγροῦ, καὶ πάντα τὰ πετεινὰ τοῦ οὐρανοῦ, καὶ ἤγαγεν αὐτὰ πρὸς τὸν Ἀδάμ. καὶ πᾶν ὃ ἂν ἐκάλεσεν αὐτὰ Ἀδὰμ ψυχὴν ζῶσαν, τοῦτο ὄνομα αὐτοῦ. καὶ ἐκάλεσεν Ἀδὰμ ὀνόματα πᾶσι τοῖς κτήνεσι, καὶ πᾶσι τοῖς πετεινοῖς τοῦ οὐρανοῦ, καὶ πᾶσι τοῖς θηρίοις τοῦ ἀγροῦ· τῷ δὲ Ἀδὰμ οὐχ εὑρέθη βοηθὸς ὅμοιος αὐτῷ. καὶ ἐπέβαλεν ὁ θεὸς ἔκστασιν ἐπὶ τὸν Ἀδὰμ, καὶ ὕπνωσε· καὶ ἔλαβε μίαν τῶν πλευρῶν αὐτοῦ,

καὶ ἀνεπλήρωσε σάρκα ἀντ' αὐτῆς, καὶ ᾠκοδόμησε κύριος ὁ θεὸς τὴν πλευρὰν ἣν ἔλαβεν ἀπὸ τοῦ Ἀδὰμ εἰς γυναῖκα, καὶ ἤγαγεν αὐτὴν πρὸς τὸν Ἀδάμ, καὶ εἶπεν Ἀδάμ· τοῦτο νῦν ὀστοῦν ἐκ τῶν ὀστέων μου, καὶ σάρξ ἐκ τῆς σαρκός μου, αὕτη κληθήσεται γυνή, ὅτι ἐκ τοῦ ἀνδρὸς αὕτη ἐλήφθη· ἕνεκεν τούτου καταλείψει ἄνθρωπος τὸν πατέρα καὶ τὴν μητέρα αὐτοῦ, καὶ προσκολληθήσεται πρὸς τὴν γυναῖκα αὐτοῦ, καὶ ἔσονται οἱ δύο εἰς σάρκα μίαν. καὶ ἦσαν οἱ δύο γυμνοί, ὅ τε Ἀδὰμ καὶ ἡ γυνὴ αὐτοῦ, καὶ οὐκ ᾐσχύνοντο. ὁ δὲ ὄφις ἦν φρονιμώτερος πάντων τῶν θηρίων τῶν ἐπὶ τῆς γῆς, ὧν ἐποίησε κύριος ὁ θεός· καὶ εἶπεν ὁ ὄφις τῇ γυναικί· τί ὅτι εἶπεν ὁ θεός, οὐ μὴ φάγητε ἀπὸ παντὸς ξύλου τοῦ παραδείσου; καὶ εἶπεν ἡ γυνὴ τῷ ὄφει· ἀπὸ παντὸς ξύλου τοῦ παραδείσου φαγούμεθα, ἀπὸ δὲ καρποῦ τοῦ ξύλου, ὅ ἐστιν ἐν μέσῳ τοῦ παραδείσου, εἶπεν ὁ θεός· οὐ μὴ φάγεσθε ἀπ' αὐτοῦ, οὐδὲ μὴ ἅψεσθε αὐτοῦ, ἵνα μὴ ἀποθάνητε. καὶ εἶπεν ὁ ὄφις τῇ γυναικί, οὐ θανάτῳ ἀποθανεῖσθε. ᾔδει γὰρ ὁ θεὸς ὅτι ἐν ᾗ ἂν ἡμέρᾳ φάγητε ἀπ' αὐτοῦ, διανοιχθήσονται ὑμῶν οἱ ὀφθαλμοί, καὶ ἔσεσθε ὡς θεοί,

γινώσκοντες

'& clausit carnem pro ea. Et ædificavit dominus Deus costam quam acceperat de Adam in mulierem, & adduxit eam ad Adam. Et ait Adam: hoc est os de ossibus meis, & caro de carne mea. Hæc vocabitur virago, eo quod de viro sumta sit ipsa. Propterea deseret vir patrem suum & matrem suam, & adhærebit uxori suæ, eruntque duo in carnem unam. Erant autem ambo illi nudi, Adam inquam & uxor ejus, & non erubescebant. Serpens vero fuit callidior omnibus bestiis agri, quas fecit dominus Deus, & dixit ad mulierem: Quare dixit Deus, non comedetis de omni ligno horti? Et dixit mulier ad serpentem, De fructu ligni horti comedimus, de fructu vero arboris quæ est in medio horti, dixit Deus nequaquam comedetis ex ea, neque contingetis illam, ne forte moriamini. Et dixit serpens ad mulierem: Non moriendo moriemini. Sciebat enim Deus, quod ipso die quando comederitis ex ipsa, aperientur oculi vestri, & eritis sicut dii

'ſcientes bonum & malum. Videns 'itaque mulier quod bonum eſſet li-'gnum in cibum, & oculis gratum 'ad videndum, & ſpecioſum ad con-'ſiderandum, tulit de fructu illius & 'comedit, deditque viro ſuo exiſtenti 'ſecum, & comederunt. Et aperti ſunt 'oculi amborum,& cognoverunt quod 'nudi eſſent, & conſuerunt folia ficul-'nea, feceruntque ſibi cinctoria. Et 'audierunt vocem domini Dei deam-'bulantis in horto ad veſperam, & 'abſcondit ſe Adam & uxor illius à 'facie domini Dei inter arbores hor-'ti. Et vocavit dominus Deus ipſum 'Adam, & ait illi: Ubi es tu? Qui 'ait: Vocem tuam audivi in horto, '& extimui, quia nudus ego, & abſ-'conditus ſum. Et ille dixit: Quis 'indicavit tibi quod nudus eſſes? nun-'quid de ipſa arbore, de qua præcepi 'tibi ut non comederes ex ipſa, come-'diſti? Et dixit Adam: Mulier ipſa 'quam dediſti ut mecum eſſet, ipſa 'dedit mihi de arbore, & comedi: 'Et dixit dominus Deus ad mulierem, 'Cur hoc feciſti? Et dixit mulier: Ipſe 'ſerpens ſeduxit me, & comedi. Et di-'xit dominus Deus ad ſerpentem: 'Quia feciſti hoc, maledictus es præ

'omni

γινώσκοντες καλὸν καὶ πονηρόν. καὶ εἶδεν ἡ
γυνὴ ὅτι καλὸν τὸ ξύλον εἰς βρῶσιν, καὶ ὅτι
ἀρεστὸν τοῖς ὀφθαλμοῖς ἰδεῖν, καὶ ὡραῖόν ἐστι
τοῦ κατανοῆσαι, καὶ λαβοῦσα ἀπὸ τοῦ καρποῦ
αὐτοῦ, ἔφαγε, καὶ ἔδωκε τῷ ἀνδρὶ αὐ-
τῆς μεθ' ἑαυτῆς, καὶ ἔφαγον. καὶ διηνοίχθη-
σαν οἱ ὀφθαλμοὶ τῶν δύο, καὶ ἔγνωσαν ὅτι
γυμνοὶ ἦσαν· καὶ ἔῤῥαψαν φύλλα συκῆς,
καὶ ἐποίησαν ἑαυτοῖς περιζώματα, καὶ ἤκουσαν
τῆς φωνῆς κυρίου τοῦ θεοῦ, περιπατοῦντος ἐν
τῷ παραδείσῳ τὸ δειλινόν, καὶ ἐκρύβησαν ὅ τε
Ἀδὰμ καὶ ἡ γυνὴ αὐτοῦ ἀπὸ προσώπου τοῦ
θεοῦ, ἐν μέσῳ τοῦ ξύλου τοῦ παραδείσου. καὶ
ἐκάλεσε κύριος ὁ θεὸς τὸν Ἀδάμ, καὶ εἶπεν
αὐτῷ· ποῦ εἶ; καὶ εἶπεν αὐτῷ· τὴν φωνήν
σου ἤκουσα ἐν τῷ παραδείσῳ, καὶ ἐφοβήθην,
ὅτι γυμνός εἰμι, καὶ ἐκρύβην. καὶ εἶπεν αὐ-
τῷ· τίς ἀνήγγειλέ σοι ὅτι γυμνὸς εἶ, εἰ μὴ
ἀπὸ τοῦ ξύλου, οὗ ἐνετειλάμην σοι τούτου μό-
νου μὴ φαγεῖν, ἀπ' αὐτοῦ ἔφαγες; καὶ εἶ-
πεν Ἀδάμ· ἡ γυνὴ ἣν ἔδωκάς μοι, αὐτή
μοι ἔδωκεν ἀπὸ τοῦ ξύλου, καὶ ἔφαγον. καὶ
εἶπεν ὁ θεὸς τῇ γυναικί· τί τοῦτο ἐποίη-
σας; καὶ εἶπεν ἡ γυνή· ὁ ὄφις ἠπάτησέ με,
καὶ ἔφαγον. καὶ εἶπε κύριος ὁ θεὸς τῷ ὄφει·
ὅτι ἐποίησας τοῦτο, ἐπικατάρατος σὺ ἀπὸ

πάντων τῶν θηρίων τῶν ἐπὶ τῆς γῆς, ἐπὶ τῷ στήθει καὶ τῇ κοιλίᾳ σου πορεύσῃ, καὶ γῆν φαγῇ πάσας τὰς ἡμέρας τῆς ζωῆς σου· καὶ ἔχθραν ποιήσω ἀνὰ μέσον σου, καὶ ἀνὰ μέσον τῆς γυναικός, καὶ ἀνὰ μέσον τοῦ σπέρματός σου, καὶ τοῦ σπέρματος αὐτῆς, αὐτό σου [a] τηρήσει τὴν κεφαλήν, καὶ σὺ αὐτοῦ τηρήσεις τὴν πτέρναν. καὶ τῇ γυναικὶ εἶπε· πληθύνων πληθυνῶ τὰς λύπας σου, καὶ τὸν στεναγμόν σου, ἐν λύπῃ τέξῃ τέκνα, καὶ πρὸς τὸν ἄνδρα σου ἡ ἀποστροφή σου, καὶ αὐτός σου κυριεύσει. τῷ δὲ Ἀδὰμ εἶπεν, ὅτι ἤκουσας τῆς φωνῆς τῆς γυναικός σου, καὶ ἔφαγες ἀπὸ τοῦ ξύλου, οὗ ἐνετειλάμην σοι μόνου τούτου μὴ φαγεῖν, ἀπ' αὐτοῦ ἔφαγες· ἐπικατάρατος ἡ γῆ ἐν τοῖς ἔργοις σου, ἐν λύπῃ φαγῇ αὐτὴν πάσας τὰς ἡμέρας τῆς ζωῆς σου, ἀκάνθας καὶ τριβόλους ἀνατελεῖ σοι, καὶ φαγῇ τὸν χόρτον τοῦ ἀγροῦ σου, ἐν ἱδρῶτι τοῦ προσώπου σου φαγῇ τὸν ἄρτον σου, ἕως τοῦ ἀποστρέψαι σε εἰς τὴν γῆν, ἐξ ἧς ἐλήφθης· ὅτι γῆ εἶ, καὶ εἰς γῆν ἀπελεύσῃ. τῆς μὲν οὖν ἱστορίας τοῦ ἀνθρώπου, καὶ τοῦ παραδείσου, τὰ ῥητὰ τῆς ἁγίας γραφῆς οὕτω περιέχει.

---

a Alii rectius, τειρήσει.

Ἐρεῖς

'omni animali, & præ omni beſtia
'terræ: ſupra ventrem tuum gradie-
'ris, & pulverem comedes omnibus
'diebus vitæ tuæ. Et inimicitias po-
'nam inter te & inter ipſam mulie-
'rem, inter ſemen tuum, & inter ſe-
'men illius, ipſum obſervabit tibi ca-
'put, & tu obſervabis ejus calcaneum.
'Ad mulierem vero dixit: Multipli-
'cando multiplicabo dolorem tuum
'& gemitum tuum: in dolore pa-
'ries filios, & ad virum tuum erit de-
'ſiderium tuum, & ipſe dominabitur
'tibi. Ad Adam vero dixit: Quia
'audiſti vocem uxoris tuæ, & come-
'diſti de arbore, de qua præcepi tibi,
'dicens, non comedes ex ea; maledi-
'cta eſt humus in operibus tuis, in do-
'lore comedes eam omnibus diebus
'vitæ tuæ. Et ſpinam atque tribulum
'germinabit tibi, & manducabis
'herbam agri. In ſudore vultus tui
'veſceris pane tuo, donec revertaris
'in humum, ex qua ſumtus es,
'quandoquidem pulvis ſis, & in pul-
'verem reverſurus ſis. Verba ſacræ
Scripturæ, quantum attinet ad hiſto-
riam hominis & Paradiſi, ſic ſe ha-
bent.

Objicies

Objicies igitur mihi: Supra tradidiſti Deum loco non comprehendi poſſe, nunc vero ais eum in Paradiſo ambulare? Audi reſponſum: Deus quidem univerſorum Pater, loco nec includitur, neque in loco invenitur. Non enim eſt locus in quo ipſe quieſcat. Ceterum ſermo ejus per quem omnia creavit, exiſtens potentia & ſapientia Patris, aſſumit perſonam Patris & domini univerſorum, is venit in paradiſum ſub perſona Dei, & colloquebatur cum Adamo. Siquidem Scriptura ſacra diſerte ponit Adamum dixiſſe: *vocem tuam audivi.* At vocem quid aliud dixeris, quam verbum Dei, qui ejus filius eſt? Nec arbitreris, ut poëtæ & fabularum ſcriptores perhibent, Dei filios ex concubitu eſſe natos, ſed intellige hoc loco enarrari verbum perpetuo exiſtens & inſitum in corde Dei. Antequam enim quicquam eorum quæ facta ſunt, fieret, hunc conſiliarium habuit, ut qui mens & prudentia ejus foret. Cum vero jam condere, quæ deliberaverat, inſtituiſſet, hoc verbum genuit prolatum, primogenitum univerſæ creaturæ, nec interim Deus exinanitus eſt verbo, verbum gignens, & verbo alloquens ſemper. Unde nos docent ſacræ literæ omnes

Ἐρεῖς οὖν μοι· σὺ φὴς τὸν θεὸν ἐν τόπῳ μὴ δεῖν χωρεῖσθαι, καὶ πῶς νῦν λέγεις αὐτὸν ἐν τῷ παραδείσῳ περιπατεῖν; ἄκουε ὅ φημι· ὁ μὲν θεὸς καὶ πατὴρ τῶν ὅλων ἀχώρητός ἐστι, καὶ ἐν τόπῳ οὐχ εὑρίσκεται. οὐ γάρ ἐστι τόπος τῆς καταπαύσεως αὐτοῦ. ὁ δὲ λόγος αὐτοῦ, δι' οὗ τὰ πάντα πεποίηκε, δύναμις ὢν καὶ σοφία αὐτοῦ, ἀναλαμβάνων τὸ πρόσωπον τοῦ πατρὸς καὶ κυρίου τῶν ὅλων, οὗτος παρεγίνετο εἰς τὸν παράδεισον ἐν προσώπῳ τοῦ θεοῦ, καὶ ὡμίλει τῷ Ἀδάμ. καὶ γὰρ αὐτὴ ἡ θεῖα γραφὴ διδάσκει ἡμᾶς τὸν Ἀδὰμ λέγοντα, τῆς φωνῆς ἀκηκοέναι· φωνὴ δὲ τί ἄλλό ἐστιν, ἀλλ' ἢ ὁ λόγος ὁ τοῦ θεοῦ, ὅς ἐστι καὶ υἱὸς αὐτοῦ. οὐχ ὡς οἱ ποιηταὶ καὶ μυθογράφοι λέγουσι υἱοὺς θεῶν ἐκ συνουσίας γεννωμένους, ἀλλὰ ὡς ἀληθεία διηγεῖται τὸν λόγον, τὸν ὄντα διαπαντὸς ἐνδιάθετον ἐν καρδίᾳ θεοῦ. πρὸ γάρ τι γίνεσθαι τοῦτον εἶχε σύμβουλον ἑαυτοῦ νοῦν, καὶ φρόνησιν ὄντα· ὁπότε δὲ ἠθέλησεν ὁ θεὸς ποιῆσαι ὅσα ἐβουλεύσατο, τοῦτον τὸν λόγον ἐγέννησε προφορικὸν, πρωτότοκον πάσης κτίσεως, οὐ κενωθεὶς αὐτὸς τοῦ λόγου, ἀλλὰ λόγον γεννήσας, καὶ τῷ λόγῳ αὐτοῦ διαπαντὸς ὁμιλῶν. ὅθεν διδάσκουσιν ἡμᾶς αἱ ἅγιαι γραφαὶ καὶ

πάντες

πάντες οἱ πνευματοφόροι, ἐξ ὧν Ἰωάννης λέγει· ἐν ἀρχῇ ἦν ὁ λόγος, καὶ ὁ λόγος ἦν πρὸς τὸν θεόν· δεικνὺς ὅτι ἐν πρώτοις μόνος ἦν ὁ θεὸς, καὶ ἐν αὐτῷ ὁ λόγος. ἔπειτα λέγει· καὶ θεὸς ἦν ὁ λόγος· πάντα δι' αὐτοῦ ἐγένετο, καὶ χωρὶς αὐτοῦ ἐγένετο οὐδὲ ἕν· θεὸς οὖν ὢν ὁ λόγος, καὶ ἐκ θεοῦ πεφυκὼς ὁπότ' ἂν βούληται ὁ πατὴρ τῶν ὅλων, πέμπει αὐτὸν εἴς τινα τόπον, ὃς παραγινόμενος καὶ ἀκούεται καὶ ὁρᾶται, πεμπόμενος ὑπ' αὐτοῦ, καὶ ἐν τόπῳ εὑρίσκεται. τὸν οὖν ἄνθρωπον ὁ θεὸς πεποίηκεν ἐν τῇ ἕκτῃ ἡμέρᾳ, τὴν δὲ πλάσιν αὐτοῦ πεφανέρωκε μετὰ τὴν ἑβδόμην ἡμέραν, ὁπότε καὶ τὸν παράδεισον πεποίηκεν, εἰς τὸ ἐν κρείσσονι τόπῳ, καὶ χωρίῳ διαφόρῳ αὐτὸν εἶναι.

Καὶ ὅτι ταῦτά ἐστιν ἀληθῆ, αὐτὸ τὸ ἔργον δείκνυσι· πῶς γὰρ οὐκ ἔστι κατανοῆσαι τὴν μὲν ὠδῖνα, ἣν πάσχουσιν ἐν τῷ τοκετῷ αἱ γυναῖκες, καὶ μετὰ τοῦτο λήθην τοῦ πόνου ποιοῦνται, ὅπως πληρωθῇ ὁ τοῦ θεοῦ λόγος, εἰς τὸ αὐξάνεσθαι καὶ πληθύνεσθαι τὸ γένος τῶν ἀνθρώπων. τί δ' οὐχὶ καὶ τὴν τοῦ ὄφεως κατάκρισιν, πῶς στυγητὸς τυγχάνει ἕρπων ἐπὶ τῇ κοιλίᾳ, καὶ ἐσθίων γῆν;

ὅπως

omnes sancto Spiritu afflati, quorum de numero est Joannes ad hunc modum disserens: *In principio erat verbum, & verbum erat apud Deum, &c.* Significans in principio solum fuisse Deum & in eo verbum. Postea infert: *Deus erat verbum. Omnia per ipsum facta sunt, & sine eo factum est nihil.* Deus itaque existens verbum, & ex Deo progenitum, quando vult pater universorum, mittit illud ad aliquem locum. Quod adveniens & auditur, & videtur ab eo missum, & in loco reperitur. Deus igitur, ut ex praemissis apparet, hominem die sexto creavit. Ejus tamen creationem patefecit post septimum demum diem, cum & paradisum parasset, in quo, ut in meliore & in excellentiore regione, homo degeret.

Ceterum eorum, quae tradidimus, veritatem res ipsa declarat. Annon animadvertimus gravissimos dolores, quos in partu perpetiuntur mulieres? Horum deinde levi momento obliviscuntur, ut impleatur quod à Deo dicitur & multiplicetur & incrementa sumat mortalium genus. Annon videmus condemnationem serpentis, quam exosus sit humi serpens & terram vorans?

a Joan. 1. 1. b Ibid. v. 3.

rans? Quæ quidem omnia plurimum faciunt ad comprobandam prædictorum veritatem. Præterea Deus exoriri *fecit ex terra omnem arborem visu pulcram & bonam ad comedendum.* Inprimis namque semina, plantæ, herbæque solæ habebantur, quas tertius produxerat dies. At quæ Paradisus proferebat, amœnissima & pulcherrima erant: siquidem eorum plantatio dicitur Deo peracta. Reliquas quidem plantas haud absimiles habuit mundus: at duas istas arbores, alteram vitæ, alteram cognitionis, nulla alia terra tenuit quam sola Paradisus.

Verum ut sciamus Paradisum esse terram, & super terra excultam, Scriptura sacra dicit: *Et plantavit Deus paradisum in Eden in regione Orientali, & in eo posuit hominem. Et prodire fecit Deus ex terra omnem arborem pulcram visu & bonam ad comedendum.* Quod igitur ait, *Ex terra, & in Orientali plaga, &c.* diserte nos docet Scriptura sacra Paradisum esse sub hoc cœlo, sub quo Oriens & terra conspiciuntur. Dictio Eden, quæ Hebraica est, si transferatur in nostram linguam, delicias significat. Præterea indicat Scriptura sacra fluvium procedere ex Eden ad irrigandum

ὅπως καὶ τοῦτο ᾖ εἰς ἀπόδειξιν ἡμῖν τῶν προειρημένων. ἐξανατεῖλαι γὰρ ὁ Θεὸς ἐκ τῆς γῆς ἔτι πᾶν ξύλον ὡραῖον εἰς ὅρασιν, καὶ καλὸν εἰς βρῶσιν. ἐν γὰρ πρώτοις μόνα ἦν τὰ ἐν τῇ τρίτῃ ἡμέρᾳ γεγεννημένα, φυτὰ καὶ σπέρματα καὶ χλόαι· τὰ δὲ ἐν τῷ παραδείσῳ ἐγενήθη διαφόρῳ καλλονῇ καὶ ὡραιότητι· ὅπου γε καὶ φυτεία ὀνόμασται ὑπὸ Θεοῦ πεφυτευμένη. καὶ τὰ μὲν λοιπὰ φυτὰ ὅμοια καὶ ὁ κόσμος ἔσχηκε· τὰ δὲ δύο ξύλα, τὸ τῆς ζωῆς, καὶ τὸ τῆς γνώσεως οὐκ ἔσχηκεν ἑτέρα γῆ, ἀλλ' ἢ ἐν μόνῳ τῷ παραδείσῳ.

Ὅτι δὲ καὶ ὁ παράδεισος γῆ ἐστι, καὶ ἐπὶ τῆς γῆς πεφύτευται, ἡ γραφὴ λέγει, καὶ ἐφύτευσεν ὁ Θεὸς παράδεισον ἐν Ἐδὲμ κατὰ ἀνατολάς, καὶ ἔθετο ἐκεῖ τὸν ἄνθρωπον. καὶ ἐξανέτειλεν ὁ Θεὸς ἔτι ἀπὸ τῆς γῆς πᾶν ξύλον ὡραῖον εἰς ὅρασιν, καὶ καλὸν εἰς βρῶσιν. τὸ οὖν ἔτι ἐκ τῆς γῆς, καὶ κατὰ ἀνατολάς, σαφῶς διδάσκει ἡμᾶς ἡ θεία γραφὴ τὸν παράδεισον ὑπὸ τοῦτον τὸν οὐρανὸν, ὑφ' ὃν καὶ ἀνατολὴ καὶ γῆ εἰσιν. Ἐδὲμ δὲ Ἑβραϊστὶ τὸ εἰρημένον, ἑρμηνεύεται [a] τρυφή. ποταμὸν δὲ σεσήμακεν ἐκπορεύεσθαι ἐξ Ἐδὲμ, ποτί-

[a] Exemplaria habuere τροφή, errore manifesto.

ζειν τὸν παράδεισον, κἀκεῖθεν διαχωρίζεσθαι εἰς τέσσαρας ἀρχάς· ὧν δύο, οἱ καλούμενοι Φεισὼν καὶ Γεὼν, ποτίζουσι τὰ ἀνατολικὰ μέρη, μάλιστα ὁ Γεὼν, ὁ κυκλῶν πᾶσαν γῆν Αἰθιοπίας, ὃν φασιν ἐν τῇ Αἰγύπτῳ ἀναφαίνεσθαι, τὸν καλούμενον Νεῖλον. οἱ δὲ ἄλλοι δύο ποταμοὶ φανερῶς γινώσκονται παρ' ἡμῖν, οἱ καλούμενοι Τίγρις καὶ Εὐφράτης· οὗτοι γὰρ γειτνιῶσιν ἕως τῶν ἡμετέρων κλιμάτων.

Θεὶς δὲ ὁ θεὸς τὸν ἄνθρωπον, καθὼς προειρήκαμεν, ἐν τῷ παραδείσῳ, εἰς τὸ ἐργάζεσθαι καὶ φυλάσσειν αὐτὸν· ἐνετείλατο αὐτῷ, ἀπὸ πάντων τῶν καρπῶν ἐσθίειν, δηλονότι καὶ ἀπὸ τοῦ τῆς ζωῆς, μόνου δὲ ἐκ τοῦ ξύλου τοῦ τῆς γνώσεως ἐνετείλατο αὐτῷ μὴ γεύσασθαι. μετέθηκε δὲ αὐτὸν ὁ θεὸς ἐκ τῆς γῆς, ἐξ ἧς ἐγεγόνει, εἰς τὸν παράδεισον διδοὺς αὐτῷ ἀφορμὴν προκοπῆς, ὅπως αὐξάνων καὶ τέλειος γενόμενος, ἔτι δὲ καὶ θεὸς [a] ἀναδειχθεὶς, οὕτως καὶ εἰς τὸν οὐρανὸν ἀναβῇ. μέσος γὰρ ὁ ἄνθρωπος ἐγεγόνει, οὔτε θνητὸς ὁλοσχερῶς, οὔτε ἀθάνατος τὸ καθόλου, δεκτικὸς δὲ ἑκατέρων. οὕτω καὶ τὸ χωρίον, ὁ παράδεισος, ὡς πρὸς καλλονὴν, μέσος τοῦ κόσμου καὶ τοῦ οὐρανοῦ γεγένηται, ἔχων ἀϊδιότητα. τῷ

[a] Quantum ad immortalitatem Deo similem.

gandum paradiſum, qui inde in quatuor diſpeſcitur capita, quorum duo vocantur Phiſon & Geon, & humectant Orientales regiones, maxime tamen Geon, qui quaſi circulo, undique alluit univerſam Æthiopiæ regionem. Hunc perhibent apparere Nilum flumen in Ægypto. Reliqui duo fluvii manifeſto à nobis cognoſcuntur, & nominantur Tigris & Euphrates. Hi uſque ad noſtra climata accedunt.

Hominem autem, ut ante diximus, Deus perduxit in paradiſum, ut eum operaretur & cuſtodiret, eique præcepit ut ederet de omnibus fructibus, nec etiam arborem vitæ excepit: ceterum vetuit ne guſtaret quidem fructum arboris ſcientiæ. In hunc modum tranſtulit Deus hominem in paradiſum, ei undique occaſiones profectus ſuggerens, ut creſceret & perfectus redderetur, & declaratus tandem Deus, ita in cœlum aſcenderet. Mediam etenim conditionem obtinuit homo, nec totus mortalis, nec totus immortalis exiſtens, verum utriuſque particeps. Sic quoque paradiſus æternitate donatus in medio cœli & terræ conſtitit, quantum ad amœnitatem attinet. Quod

M 2 dicit,

[a] Versum hunc apud Theophilum male consistentem, ex Lactantio restituimus, l. 1. c. 6. Justinus legit, Εἷς δὲ θεός. [b] Hos quatuor qui sequuntur versus etiam habet Clemens Alex. in protrept. ut etiam Stromat. 5. Sic & Euseb. præparat. Evang. l. 13. [c] Duo hi versus reperiuntur apud Lactant. l. 1. de Falsa relig. c. 6.

Τῆς

Τῆς κακοβουλοσύνης δὲ τὸν ἄξιον ἕξετε μισθὸν,
Ὅττι θεὸν προλιπόντες ἀληθινὸν, ἀέναον τὲ
Δοξάζειν, αὐτῷ τε θύειν ἱερὰς ἑκατόμβας,
Δαίμοσι τὰς θυσίας ἐποιήσατε, τοῖσιν ἐν ᾅδου,
[a] Τύφῳ καὶ μανίῃ δὲ βαδίζετε, καὶ τρίβον ὀρθὴν
Εὐθεῖαν προλιπόντες, ἀπήλθετε, καὶ δι' ἀκανθῶν
Καὶ σκολόπων ἐπλανᾶσθε. βροτοὶ παύσασθε μάταιοι
Ῥεμβόμενοι σκοτίῃ, καὶ ἀφεγγέι νυκτὶ μελαίνῃ·
Καὶ λίπετε σκοτίην νυκτὸς, φωτὸς δὲ λάβεσθε.
[b] Οὗτος ἰδοὺ πάντεσσι σαφὴς, ἀπλάνητος ὑπάρχει,
Ἔλθετε, μὴ σκοτίην δὲ διώκετε καὶ γνόφον αἰεὶ,
Ἠελίου γλυκυδερκὲς ἰδοὺ φάος ἔξοχα λάμπει.

Γνῶτε

---

[a] Quatuor ſequentes verſus apud Clem. Alex. Orat. protrept. occurrunt, aliquantum immutati.
[b] Idem Clemens octo ſequentes verſus laudat in

*Præmia sed pravæ mentis digna accipietis:*
*Quandoquidem æternoque Deo, veroque relicto,*
*Cui decus & sacro debetur victima ritu,*
*Manibus infernis fecistis sacra superbi.*
*Insanique, via recta veraque relicta,*
*Erratis per iter scopulis & sentibus horrens.*
*Desinite in tetræ noctis titubare tenebris,*
*Vani mortales: noctisque nigrore relicto*
*Utimini (patet en cunctis errore sine ullo)*
*Solis luce, suo qui lumine cuncta serenat.*

---

in prædicta orat. protrept. & eorundem primum, Stromat. 5.

*Atque hoc pectoribus sapienter noscite vestris:*
*Hic Deus est pluvias mittens, terræque tremores,*
*Ventos, atque fames, pestes & tristia damna,*
*Atque nives, glaciemque; at quorsum singula pando?*
*Imperat hic cœlis, & terræ præsidet. Ipse est.*

De iis autem qui generati dicuntur, ait:

*Quod genitum est pariterque perit, femurque virile*
*Fœmineusque uterus nequeunt producere numen.*
[a] *Sed Deus est unus solus, rerumque supremus,*
*Qui cœlum, solem, stellas, lunamque creavit,*

---

[a] Tres proximi versus habentur apud Lactantius l. 1. c. 6. de Falsa relig.

*Frugife-*

Γνῶτε δ' κατθέμενοι σοφίην ἐν στήθεσιν ὑμῶν.
Εἷς θεός ἐστι, βροχὰς, ἀνέμους, σεισμοὺς ἐπιπέμπων,
Ἀστεροπὰς, λιμοὺς, λοιμοὺς, καὶ κήδεα λυγρὰ,
Καὶ νιφετοὺς, κρύσταλλα. τί δὴ καθ' ἓν ἐξαγορεύω;
Οὐρανοῦ ἡγεῖται, γαίης κρατεῖ, αὐτὸς ὑπάρχει.

Καὶ πρὸς τοὺς γεννητοὺς λεγομένους ἔφη·

[a] Εἰ δὲ γεννητὸν ὅλως καὶ φθείρεται, οὐ δύνατ' ἀνδρὸς
Ἐκ μηρῶν, μήτρας τε θεὸς τετυπωμένος εἶναι.
Ἀλλὰ θεὸς μόνος εἷς, πανυπέρτατος, ὃς πεποίηκεν
Οὐρανὸν, ἠέλιόν τε, καὶ ἀστέρας, ἠδὲ σελήνην,

[a] Hæc præcessisse videntur carmina quæ supra laudavit Theoph. l. 2. p. 49. & hoc illud ipsum videtur esse quod ibidem ait, καὶ πρὸς τοὺς γεννητοὺς λεγομένους ἔφη. scil. Deos gentium, quorum genealogias describit Hesiodus.

Καρποφόρον γαῖάν τε, καὶ ὕδατος οἰδ-
μάτα πόντου,
Οὔρεά θ' ᵃ ὑψήεντα, καὶ ἀέναα χεύμα-
τα πηγῶν,
Τῶν τ' ἐνύδρων πάλι φυτᾷ ἀνήριθμον
πολὺ πλῆθος·
Ερπετὰ δ' ἐν γαίης κινεύμενα ψυχοτρο-
φεῖ τε,
Ποικίλα τε κτίνων λιγυρόθροα, τραυ-
λίζοντα,
Ξουθὰ, λιγυρόφωνα, ταράσσοντ' ἀέρα
ταρσοῖς·
Εν δὲ νάπαις ὀρέων ἀγρίαν φῦναν θέ-
το θηρῶν·
Ημῖν τὴν κτίσιν ὑπέταξαν πάντα βρο-
τοῖσιν·
Πάντων δ' ἡγήτηρα κατέστησεν θεό-
τευκτον,
Ανδρὶ δ' ὑπέταξεν παμποίκιλα κ' οὐ
καταληπτὰ.
Τίς γὰρ σὰρξ δύναται θνητῶν γνῶναι
τάδ' ἅπαντα.
Αλλ' αὐτὸς μόνος οἶδεν ὁ ποιήσας τὰ
δ' ἀπ' ἀρχῆς,

ᵃ Alii legunt ὑλήεντα.

ᵃ Αφθαρ-

*Frugiferam terram, pontique fluenta tumentis,*
*Excelſos montes, fonteſque perenne ſcatentes,*
*Et ſub aquis degens genus innumerabile gignit,*
*Quæque premunt terram ſerpentia corpora nutrit,*
*Et varias volucres, ſeu balbas, ſive canoras,*
*Stridentes, teneras, ſulcantes aera plantis,*
*Et genus impoſuit ſylvis agreſte ferarum,*
*Subjecitque pecus nobis mortalibus omne,*
*Cunctorumque ducem fecit divinitus ortum,*
*Subjecitque viro quæ vel comprendere non ſit,*
*Nam quis hæc valeat mortalis noſcere cuncta?*
*Ipſe ſed hæc ſolus novit, qui condidit unus,*

*Auctor*

[a] *Auctor inextinctus, æternus, in æthere degens,*

*Et multo majora bonis bona præmia reddens;*

*Injustosque malosque, ira pœnisque coercens,*

[b] *Immittens bellum, pestem, tristesque dolores.*

*Stirpitus, ô homines, cur insurgendo peritis?*

*Non pudet in Divos, feles & bruta referre?*

[c] *Annon est rabies, cæcæque insania mentis?*

*Tauros furantur Divi, prædantur & ollas,*

*Quosque poli rutilas sedes habitare deceret;*

*Hos caries densisque infestat aranea telis.*

*Serpentes colitis stulti, felesque, canesque*

---

*a* Tres qui sequuntur versus reperiuntur apud Lactant. de ira Dei, c. 22. *b* Versum hunc tanquam Orphei citat Justinus lib. de Monarch. & etiam Clem. Alex. Strom. 5. & Euseb. præpar. Evan. l. 13.

*Et*

Ἄφθαρτος, κτίστης, αἰώνιος, αἰθέρα ναίων·
Τοῖς ἀγαθοῖς ἀγαθὸν προφέρων πολὺ πλείονα μισθόν·
Τοῖς δὲ κακοῖς ἀδίκοις τε χόλον καὶ θυμὸν ἐγείρων,
Καὶ πόλεμον, καὶ λοιμὸν, δι' ἄλγεα δακρυόεντα.
Ἄνθρωποι τί μάτην ὑψούμενοι ἐκριζοῦσθε;
Αἰσχύνθητε γαλᾶς καὶ κνώδαλα θεοποιοῦντες.
Οὐ μανίη καὶ λύσσα φρενῶν, καὶ [a] ἐτήσια βάρη;
[b] Εἰλοπόδας κλέπτουσι θεοὶ, συλῶσι δὲ χύτρας,
Ἀντὶ δὲ χρυσήεντα πόλον κατ' [c] πίονα ναίειν,
Σητόβρωτα δέδορκε, πυκναῖς δ' ἀράχναις δεδίασι,
Προσκυνέοντες ὄφεις, κύνας, αἰλούροις ἀνόητοι,

*a* Turnebus legendum censet ἐπίσια φάρη, Aurat. καὶ αἴσθησις ἀφαυρή. *b* Ut respicere videatur Mercurium qui boves surripuit: quanquam esse possit εἰλαπινάδας; Lances, sive patinas; ut liguritores Deos derideat, & respondeat sequentibus συλῶσι δὲ χύτρας. *c* In aliis oraculis habetur πίονα νηον.

Καὶ

Καὶ πετεινὰ σέβεσθε, καὶ ἑρπετὰ θηρία γαίης,
Καὶ λίθινα ξόανα, καὶ ἀγάλματα χειροποίητα,
Κ' ἐν παρόδοισι λίθων συγχώματα· ταῦτα σέβεσθε,
Αλλά τε πολλὰ μάταια, ἃ δὴ κ' αἰσχρὸν ἀγορεύειν·
Εισὶ θεοὶ μερόπων δολεήτορες οὗτοι ἀβούλων,
Τῶν δὴ κ' ἐκ στόματος κεῖται θανατηφόρος ἰός.
Οὐδ' ἔστι ζωή τε, καὶ ἄφθιτον ἀέναον φῶς,
Καὶ μέλιτος γλυκεροῦ γλυκερώτερον ἀνδράσι [b] χάρμα,
Εκπροχέει· δεῖ τῷ δὲ μόνῳ τοὺς αὐχένα κάμπτειν,
Καὶ τρίβον αἰώνεσσιν ἐν εὐσεβέεσσ' ἀνακλίνειν.
Ταῦτα λιπόντες ἅπαντα, δίκης μεστὸν τὸ κύπελλον
Ζωρότερον, στιβαρὸν, βεβαρημένον, εὖ μάλα ἄκρητον,

*a* Intelligit acervos lapidum Mercurio sacros, quos Græci ἑρμαίους vocant. *b* Alii κρᾶμα, dilutam potionem.

Εἰλκύ-

*Et volucres, & quæ serpunt animalia terræ;*
*Et fabricata manu simulacra & saxea signa:*
*Et passim lapidum moles. Hæc, vanaque multa*
*Præterea colitis, quæ sunt turpissima dictu.*
*Talia sunt hominum stultorum numina falsa,*
*Quorum mortiferum distillat ab ore venenum.*
*At cujus vita est, cujus lux illa perennis,*
*Lætitia unde viris dimanat dulcior omni*
*Melle: isti cervix omnis se subdere soli*
*Debet, quique piis ostendit qua sit eundum*
*In vitam, his inquam neglectis, insipienter*
*Ingentem, magnum calicem, plenumque meraco*

Pœna-

*Pœnarumque trahent furiosis mentibus haustam.*

*Nec vigilare juvat sanæque evadere mentis,*

*Et novisse Deum regem, qui cuncta tuetur.*

*Propterea fervens ignis vos opprimet ardor,*

*Semper & in flammis turpes ardebitis, omne*

*Sculptilium cultu teritis quod turpiter ævum.*

*At quibus æternus colitur Deus atque perennis,*

*Hi vitam degent quæ tempus in omne manebit,*

*Floriferos hortos paradisi semper habentes,*

*Et dulcem comedent panem stellantis Olympi.*

Quod autem hæc vera, utilia, justa, grataque sint omnibus mortalibus, manifestum esse reor. Præterea quod malefactores necessario suorum scelerum pœnas persolvant, etiam Poetæ quasi

Εἵλκυσατ' ἀφροσύνῃσι μεμηνότι πνεύματι πάντες,
Κ' οὐ θέλετ' ἐκνῆψαι, καὶ σώφρονα πρὸς νόον ἐλθεῖν,
Καὶ γνῶναι βασιλῆα θεὸν, τὸν πάντ' ἐφορῶντα,
Τοὔνεκεν αἰθομένοιο πυρὸς σέλας ἔρχετ' ἐφ' ὑμᾶς,
Λαμπάσι καυθήσεσθε δι' αἰῶνος τὸ πανῆμαρ,
Ψεύδεσιν αἰσχυνθέντες ἐπ' εἰδώλοισιν ἀχρήστοις.
Οἱ δὲ θεὸν τιμῶντες ἀληθινὸν ἀέναόν τε,
Ζωὴν κληρονομοῦσ' αἰῶνος τὸν χρόνον, αὐτοὶ
Οἰκοῦντες παραδείσου ὁμῶς ἐριθηλέα κῆπον,
Δαινύμενοι γλυκὺν ἄρτον ἀπ' οὐρανοῦ ἀστερόεντος.

Ὅτι μὲν οὖν ταῦτα ἀληθῆ, καὶ ὠφέλιμα, καὶ δίκαια, καὶ προσφιλῆ πᾶσιν ἀνθρώποις τυγχάνει, δῆλόν ἐστιν, καὶ ὅτι οἱ κακῶς δράσαντες ἀναγκαίως ἔχουσι κατ' ἀξίαν τῶν πράξεων κολασθῆναι. ἤδη δὲ καὶ ποιη-

τῶν τινες ὡς περὶ λόγια ἑαυτοῖς ἐξείποντο, καὶ εἰς μαρτύριον τοῖς τὰ ἄδικα πράσσουσι, λέγοντες ὅτι μέλλοιεν κολάζεσθαι. Αἰσχύλος ἔφη·

[a] Δράσαντι γάρ τοι καὶ παθεῖν ὀφείλεται.

Πίνδαρος δὲ καὶ αὐτὸς ἔφη,

[b] ἐπεὶ
Ῥέζοντά τι καὶ παθεῖν ἔοικε.

Ὡσαύτως καὶ Εὐριπίδης·

Πάσχων ἀνάσχου, δρῶν γὰρ ἔχαιρες·
νόμον
Τὸν ἐχθρὸν [ἤγου] δρᾶν ὅπου λάβῃ
κακῶς.

Καὶ πάλιν ὁ αὐτὸς,

Ἐχθροὺς κακῶς δρᾶν ἀνδρὸς ἡγοῦμαι
μέρος.

Ὁμοίως καὶ Ἀρχίλοχος·

Ἓν δ' ἐπίσταμαι μέγα, τὸν κακῶς
Τι δρῶντα, δεινοῖς ἀνταμείβεσθαι κακοῖς.

Καὶ

---

a Æschyli carmen exhibet Pindari Scholiastes, legit vero τὸ δρῶντα παθεῖν τι. b Occurrit apud Pind. Nem.

quasi oracula quædam cecinerunt. Sed ea in testimonium cedunt iis qui scelera committunt, ut qui propter ea sint pœnis subdendi. Nam Æschylus inquit:

*Nam qui patravit aliquid, huic superest pati.*

Pindarus ait:

*Siquidem*
*Æquum est pati qui fecerit.*

Euripides dicit:

*Gaudens iniquis, æquus ultorem feras;*
*Tractare lex est hostem, ubi ceperis, male.*

Idem,

* *Viri esse credo, plectere merentem male.*

Ab his non dissentit Archilochus, dicens:

*Hoc grande novi, læserit ut quisquis prior,*
*Atrocioribus luat damnum malis.*

---

Nem. Od. 4. In editis erat Ανάχυ πάχων, & in sequenti carmine pes desiderabatur.

Ad hæc Deum nihil latere, ſed omnia ipſius oculis eſſe ſubjecta, & eſſe longanimem, licet conniveat uſque dum judicaturus ſit univerſum mundum, Dionyſius docuit:

*a Utcunque blando lumine renidet Themis;*
*Delator, hæc quæ viderit teſtabitur.*

Quod Deus mundum ſit judicaturus, & mala ſubito ſint deinde impios apprehenſura, teſtatur Æſchylus:

*Quid adeo ſubita damna mortales premunt?*
*Fas proterenti crimen impendet grave.*
*Juſtitia cerni ſe vetans, muta ut vides;*
*Sedentem, euntem, dormientem haud deſerit:*
*Obliqua ſequitur proxime, interdum eminus,*
*Et improborum facinorum celat nihil.*
*Quicquid agis, eſſe crede qui videant Deos.*

---

a Minime affirmaverim me loci hujus ſenſum recte fuiſſe aſſecutum. Hoc tantum novi Athenæum lib. ult. docere παιὸν idem eſſe quod Φαιὸν & delatorem denotare, quod hominum genus jurejurando & teſtimoniis pugnare ſatis notum eſt. Clauſerus reddidit. *Juſtitiæ oculus placida forma veniens, ut fax ſplendens, quam proxime accedit ſi videat.* Quæ ſi potiora lector judicet, ſibi habeat. Fortaſſe legi deberet, ὁμόσε αἰεὶ βλέπει.

Nonne

Καὶ ὅτι ὁ θεὸς τὰ πάντα ἐφορᾷ, καὶ οὐδὲν αὐτὸν λανθάνει, μακρόθυμος δὲ ὢν ἀνέχεται ἕως οὗ μέλλει κρίνειν, καὶ περὶ τούτου Διονύσιος εἴρηκεν·

Ὁ τῆς δίκης ὀφθαλμὸς, ὡς δι' ἡσύχου
Λεύσων προσώπῳ, πανὸς ὁμόσαι εἰ
βλέπει.

Καὶ ὅτι μέλλει ἡ τοῦ θεοῦ κρίσις γίνεσθαι, καὶ τὰ κατὰ τοὺς πονηροὺς αἰφνιδίως καταλαμβάνειν, καὶ τοῦτο Αἰσχύλος ἐσήμανε, λέγων·

[a] Τό τοι κακὸν ποδῶκες ἔρχεται βροτοῖς
Κεῖτ' ἀμπλάκημα τῷ περῶντι τὴν θέμιν.
Ὁρᾷς δίκην ἄναυδον οὐχ ὁρωμένην
Εὕδοντι καὶ στείχοντι καὶ καθημένῳ
Ἑξῆς ὀπηδεῖ δόχμιον, ἄλλοθ' ὕστερον
Οὐδ' ἐν καλύπτει τῶν κακῶν εἰργασμένων,
Ὅτι δ' ἂν ποιεῖς, νόμιζ' ὁρᾶν θεούς τινας.

---

[a] Hæc ex Stobæo περὶ δίκης restituuntur: olim in impressis legebatur,
Τὸ κακὸν ποδῶκες ἔρχεται βροτοῖς.
Καὶ τὰ ἀμβλακήματα περῶντι τὴν θέμιν
Ὁρᾷς δίκην ἄναυδον, οὐκ ὁρωμένην,
Εὕδοντι καὶ σίχοντι, καθημένῳ
Ἑξῆς ὀπάζει δόγμιον, ἄλλο δὲ ὕστερον·
Οὐκ ἐγκαλύπτει νὺξ κακῶς εἰργασμένων
Ὅ, τι ἂν ποιῇς δεινὸν, νόμιζε ὁρᾷν τινά.

Τί δ' οὐχὶ καὶ ὁ Σιμωνίδης;

[a] Οὐκ ἔστιν ἀνεπιδόκητον ἀνθρώποις κακόν,
Ὀλίγῳ δὲ χρόνῳ πάντα μεταῤῥίπτει θεός.

Πάλιν Εὐριπίδης,

[b] Οὐδέ ποτ' εὐτυχίαν
Κακοῦ ἀνδρὸς, ὑπέρφρονα δ' ὄλβον,
Βέβαιον εἰκάσαι χρεών·
[c] Οὐδ' ἀδίκων γονεάν·
Ὁ γὰρ οὐδενὸς ἐκφὺς χρόνος,
Δικαίους ἐπάγων κανόνας,
Δείκνυσιν ἀνθρώπων κακότητας ἐμοί.

Ἔτι ὁ Εὐριπίδης· [d] Ἀσύνετον
Οὐ γὰρ τὸ θεῖον, ἀλλ' ἔχει συνιέναι
Κακῶς παγέντας, καὶ συνηναγκασμένους.

Καὶ ὁ Σοφοκλῆς·

Εἰ δεῖνα ἔδρασας, δεινὰ καὶ παθεῖν σε δεῖ.

Ἤτοι οὖν περὶ ἀδίκου ὅρκου, ἢ καὶ περὶ ἄλλου τινὸς πταίσματος, ὅτι μέλλει ὁ θεὸς ἐξετάζειν, καὶ αὐτοὶ σχεδὸν προειρήκασιν.

---

*a* Ista Simonidis sic legebantur,
Ουκ ἔστι κακὸν ἀνεπιδόκητον ἀνθρώποις.

*b* In Bellepheronte versus hos male habitos, ex Stobæo περὶ κακίας restituimus. *c* In impressis erat,
Ουδὲ ἀδίκως τινέων,
Ο γὰρ οὐδενὸς ἐκσφὺς χρόνος
Δείκνυσιν ἀνθρώπων κακοτήτας.

*d* In impressis legebatur,

Οἰ

Nonne his & Simonides concinit, ſcribens?

*Subitaneum nullum obvenit viris malum,*
*Nam tempore brevi cuncta reſtituit Deus.*

Iterum Euripides:

*Utcunque malis commodat auras*
*Fortuna ſuas, utcunque ferox*
*Partas ſubito cum ſpectat opes*
*Raptor, ſpreto jure ſuperbit:*
*Nihil huic ſtabile eſt, tutumque nihil.*
*Negat hæredem res rapta ſequi.*
*Tempus nullo genitore ſatum,*
*Æquat armis omnia rectis,*
*Tandemque malas detegit artes.*

Idem iterum inquit: *Provida*
*Non cura ceſſat Numinum: pariter notant,*
*Qui prava jurant, quosq; id impellit nefas.*

Sophocles inquit:

*Æquum eſt patrantem dira, tantundem pati.*

Præterea quod Deus judicium ſit redditurus de perjurio & aliis peccatis, Poetæ quoque fere prædixerunt.

---

Ου γὰρ ἀσύνετον τὸ θεῖον, ἀλλ' ἔχει συνιέναι τοὺς κακῶς παγέντας, καὶ κατηναγκασμένους.
Sed Euripidis Iphigen. in Aul. v. 395. legit
Κακῶς παγέντας ὅρκους καὶ συνηναγκασμένους.
Verba ſunt Menelai ad Agamemnonem. Prior verſus apud eundem Euripidem ſic habetur,
Ου γὰρ ἀσυνέτους τοὺς θεοὺς ἡγούμεθ' ἐγώ.

Quod

Quod pertinet ad conflagrationem mundi, nolentes volentes consentiunt cum Prophetis, qui multo quidem juniores, & ea ex Lege & Prophetis suffurati sunt. Sed quid refert priores vel posteriores fuerint Prophetis? In hoc negotii cardo vertitur, quod haud absimilia Prophetarum oraculis prædixere. De mundi conflagratione vaticinatus est Malachias Propheta: [a] *Ecce dies Domini venit ut clibanus ardens, & incendet omnes impios.* Similiter & Isaias: *veniet enim ira Dei veluti inundans grando, & turbo subvertens, veluti impetus aquarum validarum & inundantium qui omnia fortiter dejicit ad terram.*

Hæc quidem Sibylla & reliqui Prophetæ vaticinati sunt. Verum & Poetæ Philosophique scripserunt de justitia, de judicio, de æterna pœna, necnon de Providentia. Deus non solum, nos qui adhuc vita fruimur, sed & mortuos curat: quicquid alii dicant, à veritate enim redarguntur. Et inter Prophetas Solomon de mortuis dicit: [b] *Erit sanatio carnibus, & curatio ossium.* Idem

---

[a] Malac. 4. 1. [b] Prov. 3. 8.

testatur

Η καὶ περὶ ἐκπυρώσεως κόσμου, θέλοντες καὶ μὴ θέλοντες, ἀκόλουθα ἐξεῖπον τοῖς προφήταις, καίπερ πολὺ μεταγενέστεροι γενόμενοι, καὶ κλέψαντες ταῦτα ἐκ νόμου καὶ τῶν προφητῶν. καὶ τί γὰρ ἤτε ἔσχατοι, ἢ καὶ πρῶτοι ἐγένοντο; πλὴν ὅτι γοῦν καὶ αὐτοὶ ἀκόλουθα τοῖς προφήταις εἶπον. περὶ μὲν οὖν ἐκπυρώσεως Μαλαχίας ὁ προφήτης προείρηκεν· ἰδοὺ ἡμέρα ἔρχεται κυρίου ὡς κλίβανος καιόμενος, καὶ ἀνάψει πάντας τοὺς ἀσεβεῖς. καὶ Ἡσαΐας· ἥξει γὰρ ὀργὴ θεοῦ ὡς χάλαζα, συγκαταφερομένη βίᾳ, καὶ ὡς ὕδωρ σῦρον ἐν φάραγγι.

Τοίνυν Σίβυλλα, καὶ οἱ λοιποὶ προφῆται. ἀλλὰ μὴν καὶ οἱ ποιηταὶ, καὶ φιλόσοφοι, καὶ δεδηλώκασιν περὶ δικαιοσύνης, καὶ κρίσεως, καὶ κολάσεως, ἔτι μὴν καὶ περὶ προνοίας· φροντίζει ὁ θεὸς οὐ μόνον τῶν ζώντων ἡμῶν, ἀλλὰ καὶ τῶν τεθνεώτων. καίπερ ἄκοντες ἔφασαν· ἠλέγχοντο γὰρ ὑπὸ τῆς ἀληθείας· καὶ τῶν μὲν προφητῶν, Σολομὼν περὶ τῶν τεθνηκότων εἶπεν· ἔσται ἴασις ταῖς σαρξὶ, καὶ ἐπιμέλεια τῶν ὀστέων. τὸ δ' αὐτὸ καὶ

a Isai. 28. 2. Interpret. 70. legunt θυμὸς κυρίου ὡς χάλαζα καταφερομένη οὐκ ἔχουσα σκέπην βίᾳ καταφερομένη ὡς ὕδατος πολὺ πλῆθος σύρον χώραν.

Δαυὶδ

Δαυΐδ· ἀγαλλιάσεται [a] ὀστέα τεταπεινωμένα. τούτοις ἀκόλουθα εἴρηκε καὶ Τιμοκλῆς, λέγων·

Τεθνεῶσιν ἔλεος ἐπιεικὴς θεός.

Καὶ περὶ πλήθους οὖν θεῶν οἱ συγγραφεῖς εἰπόντες, κατῆλθον εἰς μοναρχίαν, καὶ περὶ ἀπρονοησίας λέγοντες, εἶπον περὶ προνοίας, καὶ περὶ ἀκρισίας φάσκοντες, ὡμολόγησαν ἔσεσθαι κρίσιν, καὶ οἱ μετὰ θάνατον ἀρνούμενοι εἶναι αἴσθησιν, ὡμολόγησαν. Ὅμηρος μὲν οὖν εἰπών·

[b] Ψυχὴ ἠΰτ' ὄνειρος ἀποπταμένη πεπότηται,

Ἐν ἑτέρῳ λέγει·

[c] Ψυχὴ δὲ ἐκ ῥεθέων πταμένη, Ἄϊδόσδε βεβήκει.

Καὶ πάλιν,

[d] Θάπτε με ὅττι τάχιστα, πύλας Ἀΐδαο περήσω.

---

a Psal. 50. 8. In impressis erat ὡς τα'. b Odyss. l. 11. v. 221. c Iliad. 16. v. 856. & 22, 362. d Iliad. 23. v. 71.

Τα'

testatur & David: *Exultabunt ossa quæ sunt humiliata.* His congrua pronunciavit Timocles dicens,

*Urna repostos respicit clemens Deus.*

Præterea scriptores, [a] qui tradidere deorum multitudinem, tandem ad Dei unitatem devenere: & qui docuere non esse providentiam Dei, tandem eam confessi sunt: qui voluere Deum non judicaturum orbem, tandem credidere judicium futurum; & qui negabant post mortem esse sensum, agnoscunt. Igitur Homerus dixit:

*Cursum anima arripuit molli assimilata sopori.*

Et alibi dicit:

*Corporis exuvias linquens anima ibat in Orcum.*

Et rursus:

*Me sepeli ut liceat stygias tranare paludes.*

[a] In hoc argumento multus est Tertullianus, præsertim in *Testimonio Animæ.*

De

De reliquis puto te melius noſſe, ut qui legeris auctores qui ea tradidere. Hæc autem omnia intelliget qui Dei ſapientiam exquirit, eique placet per fidem, juſtitiam, & bona opera. Nam quidam Prophetarum, quos ſupra oſtendimus, nomine Oſeas ait: *Quis ſapiens & intelliget iſta, & prudens cognoſcet ea? quoniam rectæ ſunt viæ Domini, & juſti ambulabunt in eis: iniqui autem corruent in eis.* Oportet igitur literarum amatorem diſcendi cupidum eſſe: Studeas ergo iſtis frequentius converſari ut vivas; & ſermonem exaudiens, perfecte addiſcas veritatem.

S. THEO-

Τὰ δὲ περὶ τῶν λοιπῶν οὓς ἀνέγνωκας, ἡγοῦμαί σε ἀκριβῶς ἐπίστασθαι ᾧ τρόπῳ εἰρήκασι. ταῦτα δὲ πάντα συνήσει πᾶς ὁ ζητῶν τὴν σοφίαν τοῦ θεοῦ, καὶ εὐαρεστῶν αὐτῷ διὰ πίστεως, καὶ δικαιοσύνης, καὶ ἀγαθοεργίας. καὶ γάρ τις εἶπεν προφήτης, ὧν προεγράψαμεν, ὀνόματι Ὠσηέ· τίς σοφὸς καὶ συνήσει ταῦτα, συνετὸς, καὶ γνώσεται ὅτι εὐθεῖαι αἱ ὁδοὶ τοῦ κυρίου, καὶ δίκαιοι [a] εἰσελεύσονται ἐν αὐταῖς· οἱ δὲ ἀσεβεῖς ἀσθενήσουσιν ἐν αὐταῖς. χρὴ οὖν τὸν φιλομαθῆ καὶ φιλομαθεῖν· πειράθητι οὖν πυκνότερον συμβαλεῖν, ὅπως καὶ ζώσης, ἀκούσας φωνῆς ἀκριβῶς μάθῃς τἀληθές.

---

a Osee 14. 10. Septuag. habent πορεύσονται, pro εἰσελεύσ.

---

# ΘΕΟΦΙΛΟΥ
## ΠΡΟΣ
# ΑΥΤΟΛΥΚΟΝ

## ΒΙΒΛΙΟΝ Γ'.

ΘΕΟΦΙΛΟΣ Αὐτολύκῳ χαίρειν. ἐπειδὴ οἱ συγγραφεῖς βούλονται πληθὺν βίβλων συγγράφειν, πρὸς κενὴν δόξαν, οἱ μὲν περὶ θεῶν, καὶ πολέμων, ἢ χρόνων, τινὲς δὲ καὶ μύθων ἀνωφελῶν, καὶ τῆς λοιπῆς ματαιοπονίας, ἧς ἤσκεις καὶ σὺ ἕως τοῦ δεῦρο, κἀκείνου μὲν τὸν κάματον οὐκ ὀκνεῖς ἀνεχόμενος· ἡμῖν δὲ συμβαλὼν, ἔτι λῆρον ἡγῇ τυγχάνειν τὸν λόγον τῆς ἀληθείας, οἰόμενος προσφάτους καὶ νεωτερικὰς εἶναι τὰς παρ' ἡμῖν γραφάς. διὸ δὴ κἀγὼ οὐκ ὀκνήσω ἀνακεφαλαιώσασθαί σοι, παρέχοντος θεοῦ, τὴν ἀρχαιότητα τῶν παρ' ἡμῖν γραμμάτων, ὑπόμνημά σοι ποιούμενος δι' ὀλίγων, ὅπως μὴ ὀκνήσῃς ἐντυγχάνειν αὐτῷ. ἐπιγνῷς δὲ τῶν λοιπῶν

συνταξάντων

# S. THEOPHILI

## AD

## AUTOLYCUM

### LIBER II.

THeophilus Autolyco ſalutem dicit. Scriptores ceteri avent multos libros conſcribere, quibus vanam venentur gloriam; alii quidem de diis, aut de bellis, aut de temporibus: alii de fabulis inutilibus & iſtiuſmodi deliramentis, quæ te hucuſque exercuerunt, nec nunc ab iſto labore recedis: & quamvis nobiſcum ſis congreſſus, attamen adhuc arbitraris veritatis ſermonem eſſe nugas. Nam exiſtimas noſtra ſcripta eſſe recentia & nupera. Proinde ego non gravabor (adſit modo Deus) à prima origine repetere noſtrarum litetarum antiquitatem, brevem tractatum conficiens, ne perlegere graveris: deprehendas autem

reliquorum ſcriptorum ineptias. Oportebat enim ſcriptores teſtes eſſe oculatos eorum quæ tradunt, aut rerum veritatem exacte didiciſſe ex iis qui rebus geſtis interfuere. Nam qui incerta quæ ipſi ignorant, ſcribunt, quodammodo (quod dicitur) aerem cædunt.

Quid Homero profuit bellum Iliacum deſcripſiſſe, & multis eo opere fucum feciſſe? Quid Heſiodo catalogus genealogiæ deorum, quos commentus eſt? Quid Orpheo trecenti & ſexaginta quinque dii: quos tandem rejecit in teſtamento ſuo cum obiret mortem, aſſerens unum eſſe Deum? Quid Arato ſua ſphærographia mundani cycli? Aut quem fructum ſenſere alii qui iiſdem incubuere ſtudiis, præter inanem apud homines gloriam, quam ne quidem prout digni erant, habuere? Sed quid veri dixerunt? Quid utilitatis Euripides, Sophocles, & reliqui Tragici ſcriptores ex ſuis cepere tragœdiis? Aut Menander, Ariſtophanes, aliique Comici ex ſuis comœdiis? aut Herodotus & Thucydides ex hiſtoriis, aut Pytha-

συνταξάντων τὴν φλυαρίαν. ἐχρῆν γὰρ τοὺς συγγράφοντας αὐτοὺς αὐτόπτας γεγενῆσθαι περὶ ὧν διαβεβαιοῦνται, ἢ ἀκριβῶς μεμαθηκέναι ὑπὸ τῶν τεθεαμένων αὐτά. τρόπῳ γάρ τινι οἱ τὰ ἄδηλα συγγράφοντες ἀέρα δέρουσι.

Τί γὰρ ὠφέλησεν Ομηρον συγγράψαι τὸν Ιλιακὸν πόλεμον, καὶ πολλοὺς ἐξαπατῆσαι, ἢ Ησίοδον ὁ κατάλογος τῆς θεογονίας τῶν παρ' αὐτῷ θεῶν ὀνομαζομένων, ἢ Ορφέα οἱ τριακόσιοι ἑξήκοντα πέντε θεοὶ, οὓς αὐτὸς ἐπὶ τέλει τοῦ βίου ἀθετεῖ, ἐν ταῖς διαθήκαις αὐτοῦ λέγων ἕνα εἶναι θεόν; τί δὲ ὠφέλησεν Αρατον ἡ σφαιρογραφία τοῦ κοσμικοῦ κύκλου; ἢ τοὺς τὰ ὅμοια αὐτῷ εἰπόντας, πλὴν τῆς κατ' ἄνθρωπον δόξης, ἧς οὐδὲ αὐτῆς κατ' ἀξίαν ἔτυχον; τί δὲ καὶ ἀληθὲς εἰρήκασιν; ἢ τί ὠφέλησεν Εὐριπίδην καὶ Σοφοκλέα, ἢ τοὺς λοιποὺς τραγῳδιογράφους αἱ τραγῳδίαι; ἢ Μένανδρον καὶ Αριστοφάνην, καὶ τοὺς λοιποὺς κωμικοὺς αἱ κωμῳδίαι; ἢ Ηρόδοτον καὶ Θουκυδίδην αἱ ἱστορίαι αὐτῶν;

ἢ Πυθαγόραν τὰ [a] ἄδυτα καὶ Ἡρακλέους στῆλαι; ἢ Διογένην ἡ Κυνικὴ φιλοσοφία; ἢ Ἐπίκουρον τὸ δογματίζειν μὴ εἶναι πρόνοιαν; ἢ Ἐμπεδοκλέα τὸ διδάσκειν ἀθεότητα; ἢ Σωκράτην τὸ ὀμνύειν τὸν κύνα, καὶ τὸν χῆνα, καὶ τὴν πλάτανον, καὶ τὸν κεραυνωθέντα Ἀσκληπιὸν, καὶ τὰ δαιμόνια ἃ ἐπεκαλεῖτο; πρὸς τί δὲ καὶ ἑκὼν ἀπέθνησκεν; τίνα καὶ ὁποῖον μισθὸν μετὰ θάνατον ὑπολαβεῖν ἐλπίζων; τί δὲ ὠφέλησε Πλάτωνα ἡ κατ' αὐτὸν παιδεία; ἢ τοὺς λοιποὺς φιλοσόφους τὰ δόγματα αὐτῶν; ἵνα μὴ τὸν ἀριθμὸν αὐτῶν καταλέγω πολλῶν ὄντων. ταῦτα δὲ φαμὲν εἰς τὸ ἐπιδεῖξαι τὴν ἀνωφελῆ καὶ ἄθεον διάνοιαν αὐτῶν· δόξης γὰρ κενῆς καὶ ματαίου πάντες οὗτοι ἐρασθέντες, οὔτε αὐτὸ τὸ ἀληθὲς ἔγνωσαν, οὔτε μὴν ἄλλους ἐπὶ τὴν ἀλήθειαν προετρέψαντο. καὶ γὰρ ἃ ἔφασαν αὐτὰ ἐλέγχει αὐτοὺς, ἢ ἀσύμφωνα εἰρήκασι· καὶ τὰ ἴδια δόγματα οἱ πλείους αὐτῶν κατέλυσαν. οὐ γὰρ ἀλλήλους μόνον ἀνέτρεψαν, ἀλλ' ἤδη τινὲς καὶ

a Ab Ægypti sacerdotibus in adyta fuisse admissum, & ad occidentis fines peregrinasse. Vide Iambl. & Laert. in vita Pythag.

Pythagoras ex Adytis & Herculis columnis. Diogeni, quid Cynica philosophia: Epicuro, asserere non esse providentiam; Empedocli, docere non esse Deos contulit? Socrati quid commodi attulit jurare per canem, anserem, platanum, & Æsculapium fulmine tactum; quid etiam Genium suum, quem invocavit? Præterea quare ultro mortuus est, quam & qualem sperans post obitum mercedem nancisci? Quid Platoni profuit sua disciplina? Quid utilitatis pepererunt reliquis sua dogmata Philosophis? Nolo enim omnes nunc, quia plurimi fuerunt, recensere. Hæc quidem enumeramus, ut demonstremus impias & inutiles eorum esse sententias: omnes enim vanæ atque inanis gloriæ amore incensi, nec ipsi veritatem assequuti sunt, nec alios ad veritatem cohortati. Nam ex suis ipsorum, dum contraria sibi proferunt, scriptis, mendacii arguuntur. Quidam etiam sua destruxerunt placita. Nec solum invicem subverterunt, verum nonnulli Philo-

Philoſophi etiam propria dogmata irrita fecere. Itaque gloria eorum ceſſit in infamiam & ſtultitiam. Nam intellectu præditi facile eorum ſcripta condemnant. Aut enim loquuti ſunt de diis, & deinceps docuere non eſſe deos: aut ſi de mundi generatione diſſeruerunt, poſtremo omnia ferri ſua ſponte dixerunt: aut de providentia ſermocinantes, tandem ſtatuere mundum nulla providentia gubernari.

Porro annon dum conantur de morum gravitate ſcribere, docuere adulteria, ſcortationem atque omnem immunditiam perpetrare; imo & deteſtandam maſculam Venerem introduxerunt. Canunt etiam primarios eorum Deos uſos concubitu non dicendo, & cibis nefariis. Quis non memorat Saturnum ſuos liberos vorantem; & Jovem, hujus filium, Metin abſorpſiſſe, & ſcelerata convivia diis apparaſſe? Vulcanum quendam claudum fabrum diis miniſtrare docent. Proponunt Junonem germanam

τὰ ἑαυτῶν δόγματα ἄκυρα ἐποίησαν· ὥστε ἡ δόξα αὐτῶν εἰς ἀτιμίαν καὶ μωρίαν ἐχώρησεν· ὑπὸ γὰρ τῶν συνετῶν καταγινώσκονται. ἤτοι γὰρ περὶ θεῶν ἔφασαν αὐτοί, ὕστερον ἀθεότητα ἐδίδαξαν· ἢ εἰ καὶ περὶ κόσμου γενέσεως, ἔσχατον αὐτοματισμὸν εἶπον εἶναι τῶν πάντων· ἀλλὰ καὶ περὶ προνοίας λέγοντες, πάλιν ἀπρονόητον εἶναι κόσμον ἐδογμάτιζον.

Τί δ' οὐχὶ καὶ περὶ σεμνότητος πειρώμενοι γράφειν, ἀσελγείας, καὶ πορνείας, καὶ μοιχείας ἐδίδαξαν ἐπιτελεῖσθαι, ἔτι μὴν καὶ τὰς στυγητὰς ἀῤῥητοποιίας εἰσηγήσαντο, καὶ πρώτους γε τοὺς θεοὺς αὐτῶν κηρύσσουσιν ἐν [a] ἀῤῥήτοις μίξεσι συγγίνεσθαι, ἔντε ἀθέσμοις βρώσεσι; τίς γὰρ οὐκ ᾄδει Κρόνον τεκνοφάγον· Δία δὲ τὸν παῖδα αὐτοῦ τὴν Μῆτιν καταπίνειν; καὶ δεῖπνα μιαρὰ τοῖς θεοῖς ἑτοιμάζειν· ἔνθα καὶ χωλὸν Ἥφαιστόν τινα χαλκέα φασὶν διακονεῖν αὐτοῖς· τήν τε Ἥραν

[a] Ἀῤῥενοκοιτίας.

ἰδίαν

ἰδίᾳ ἀδελφῇ αὐτῆς μὴ μόνον τὸν διὰ γάμου, ἀλλὰ καὶ στόματος ἀνάγνου ἀῤῥητοποιεῖν. τάς τε λοιπὰς περὶ αὐτοῦ πράξεις, ὁπόσας ᾄδουσιν οἱ ποιηταὶ, εἰκὸς ἐπίστασαι. τί μοι λοιπὸν καταλέγειν τὰ περὶ Ποσειδῶνος καὶ Ἀπόλλωνος, ἢ Διονύσου, καὶ Ἡρακλέος, Ἀθηνᾶς τῆς φιλοκόλπου, καὶ Ἀφροδίτης τῆς ἀναισχύντου, ἀκριβέστερον πεποιηκότων ἡμῶν ἐν ἑτέρῳ τὸν περὶ αὐτῶν λόγον. οὐδὲ γὰρ ἐχρῆν ἡμᾶς ταῦτα ἀνασκευάζειν, εἰ μὴ ὅτι σε θεωρῶ νυνὶ διστάζοντα περὶ τὸν λόγον τῆς ἀληθείας. φρόνιμος γὰρ ὢν ἡδέως μωρῶν ἀνέχῃ. ἔπειτα οὐκ ἂν ἐκινήθης ὑπὸ ἀνοήτων ἀνθρώπων κενοῖς λόγοις ἀπάγεσθαι, καὶ φήμῃ πείθεσθαι προκατεσχηκυίῃ, στομάτων ἀθέων ψευδῶς συκοφαντούντων ἡμᾶς, τοὺς θεοσεβεῖς καὶ Χριστιανοὺς καλουμένους. φασκόντων ὡς κοινὰς ἁπάντων οὔσας τὰς γυναῖκας ἡμῶν, καὶ διαφόρῳ μίξει ζῶντας, ἔτι μὴν καὶ ταῖς ἰδίαις ἀδελφαῖς συμμίγνυσθαι. καὶ τὸ ἀθεώτατον καὶ ὠμότατον, πασῶν σαρκῶν ἀνθρωπίνων

manam eorum non ſolum nuptiis inceſtis, ſed ore quoque impuro infanda patrare. Flagitia ejus reliqua, quæ poetæ celebrant, omitto commemorare. Siquidem ipſe ea pernoviſti. Quid attinet dicere Neptunum, Apollinem, Bacchum, Herculem, Minervam ſinus amantem, Veneremque impudicam, cum abunde de his loquuti ſimus in alia noſtra oratione? Nec oportebat ſane nos nunc iſta confutare, niſi quia te adhuc ambiguum, quod ſpectat ad veritatis ſermonem, video. Cum enim ſis prudens, æquo animo ſtultos pateris. Siquidem non moveris à ſtolidis hominibus, qui te à vera religione vanis verbis avertere moliuntur, neque eorum præjudiciis duceris, qui ore impio falſo nos Dei cultores accuſant, qui Chriſtiani nominamur; aiunt enim noſtras uxores eſſe communes, & promiſcuo concubitu nos uti criminantur. His accedit, quod impingunt nobis quaſi nec à propriis ſororibus temperemus, & quod impium & immaniſſimum eſt, humanis quibuſcunque veſcamur carnibus:

nibus: porro noſtram religionem eſſe nuperam, quam nos, ut veram tueri non poſſimus. Ad hæc noſtram doctrinam nihil aliud quam ſtultitiam eſſe cavillantur.

Verum enim vero maxime te admiror, qui præ reliquis ſtudioſus & omne ſcientiæ genus inquiris, nos tamen noſtraque negligentius audis. Nam libenter etiam noctu velis in bibliothecis morari. Cum igitur plurima perlegeris, cedo quid tibi videntur quæ Zenonis aut Diogenis aut Cleanthis continent & docent libri? Nam tradunt morem veſcendi carnibus humanis, & patres quidem à propriis filiis aſſari & devorari. Præterea ſi quis nolit aut abominetur deteſtandum illum cibum, aut abjiciat membrum oblatum, reliquis licere & hunc mactare & edere. At ſermo Diogenis magis impius eſſe deprehenditur, dum docet liberos interficere in ſacrificiis ſuos parentes, atque eorum carnes devorare. Herodotus quoque hiſtoricus annon fabulatur Aſtyagen Harpagi filios necaſſe, occiſos & coctos patri appoſuiſſe? Fabulatur, etiam

ἀνθρωπίνων ἐφάπτεσθαι ἡμᾶς· ἀλλὰ καὶ ὡς προσφάτου ὄντος τοῦ καθ' ἡμᾶς λόγου, καὶ μηδὲν ἔχειν ἡμᾶς λέγειν εἰς ἀπόδειξιν ἀληθείας τῆς καθ' ἡμᾶς, καὶ διδασκαλίας· μωρίαν δὲ εἶναι τὸν λόγον ἡμῶν φασίν. ἐγὼ μὲν οὖν θαυμάζω μάλιστα ἐπί σοι, ὃς ἐν μὲν τοῖς λοιποῖς γινόμενος σπουδαῖος, καὶ ἐκζητητὴς ἁπάντων πραγμάτων, ἀμελέστερον ἡμῶν ἀκούεις. εἰ γάρ σοι δυνατὸν, καὶ νύκτωρ οὐκ ὀκνεῖς διατρίβειν ἐν ταῖς βιβλιοθήκαις. ἐπειδὴ οὖν πολλὰ ἀνέγνως, τί σοι ἔδοξε τὰ Ζήνωνος, ἢ τὰ Διογένους καὶ Κλεάνθους, ὁπόσα περιέχουσιν αἱ βίβλοι αὐτῶν, διδάσκουσαι ἀνθρωποβορείας, πατέρας μὲν ὑπὸ ἰδίων τέκνων ἕψεσθαι καὶ βιβρώσκεσθαι, καὶ εἴ τις οὐ βούλοιτο, ἢ μέλος τι τῆς μυσερᾶς τροφῆς [a] ἀναῤῥίψειεν, αὐτὸν κατεσθίεσθαι τὸν μὴ φαγόντα. πρὸς τούτοις ἀθεωτέρα τις φωνὴ εὑρίσκεται, ἡ τοῦ Διογένους, διδάσκοντος τὰ τέκνα τοὺς ἑαυτῶν γονεῖς θυσίαν ἄγειν, καὶ τούτους κατεσθίειν. τί δ' οὐχὶ καὶ [b] Ἡρόδοτος ὁ ἱστοριογράφος μυθεύει, τὸν [c] Ἀστυάγη τὰ τοῦ Ἁρπάγου τέκνα σφάξαντα, καὶ ἑψήσαντα παρατεθεικέναι τῷ πατρὶ βοράν; ἔτι δὲ καὶ

---

a Ἀποῤῥίψειεν. b Herod. l. 1. p. 51. c Exemplaria contra historiæ fidem, Cambysen habuere.

παρὰ Ἰνδοῖς [a] μυθεύει κατεσθίεσθαι τοὺς πατέρας ὑπὸ τῶν ἰδίων τέκνων. ὢ τῆς ἀθέου διδασκαλίας τῶν τὰ τοιαῦτα ἀναγραψάντων, μᾶλλον δὲ διδαξάντων· ὢ τῆς ἀσεβείας καὶ ἀθεότητος αὐτῶν· ὢ τῆς διανοίας τῶν οὕτως ἀκριβῶς φιλοσοφησάντων, καὶ φιλοσοφίαν ἐπαγγελλομένων. οἱ γὰρ ταῦτα δογματίσαντες, τὸν κόσμον ἀσεβείας ἐνέπλησαν; καὶ γὰρ περὶ ἀθέσμου πράξεως σχεδὸν πᾶσιν συμπεφώνηκε, τοῖς περὶ τὸ [b] ἄκρον τῆς φιλοσοφίας πεπλανημένοις. καὶ πρῶτός γε Πλάτων, ὁ δοκῶν ἐν αὐτοῖς σεμνότερον πεφιλοσοφηκέναι, διαῤῥήδην [c] ἐν τῇ πρώτῃ βίβλῳ τῶν πολιτειῶν ἐπιγραφομένῃ, τρόπῳ τινὶ νομοθετεῖν, χρὴ εἶναι κοινὰς ἁπάντων τὰς γυναῖκας, χρώμενος παραδείγματι τοῦ Διὸς καὶ Κρητῶν νομοθέτῃ, ὅπως διὰ προφάσεως παιδοποιΐα πολλὴ γίνηται ἐκ τῶν τοιούτων, καὶ ὡς δῆθεν τοὺς λυπουμένους διὰ τοιούτων ὁμιλιῶν χρὴ παραμυθεῖσθαι. Ἐπίκουρος δὲ καὶ αὐτὸς σὺν τῷ ἀθεότητα διδάσκειν, συμβουλεύει καὶ μητράσι καὶ ἀδελφαῖς συμμίγνυσθαι καίπερ τῶν νόμων τῶν τοῦτο κωλυόντων. ὁ γὰρ [d] Σολομῶν καὶ περὶ τούτου σαφῶς ἐνομοθέτησεν

a Lib. 3. b Exemplaria habent χρόνον c Rectius ἐν τῇ πέμπτῃ. d Prov. 5. 15.

etiam apud Indos esse morem, ut patres à suis comedantur liberis. O impiam (exclamare libet) doctrinam eorum qui talia scribunt, imo docent! O impietatem & scelera! O mentem perversam eorum qui ad hunc modum se perfecte philosophari putant, & philosophiam profitentur! Annon hæc docentes mundum impietate compleruut? Etenim quod ad impium adulterii & scortationis vitium attinet, summis Philosophis omnibus fere in errore convenit. Et primum, princeps Philosophorum habitus Plato, statim in primo libro, qui de Republica inscribitur, quodammodo lege sanciri vult, ut omnium uxores sint communes, sequutus nimirum exemplum Jovis, & Cretensium legislatorem, ut hoc sub prætextu abundantior proveniret soboles, & proinde tristitia affecti, consolationem ex tali consuetudine caperent. Epicurus etiam, qui impietatem docet, suadet ut quis cum matre & sorore coeat, quamvis leges prohibeant. Solomon enim super hac re manifestam legem tulit ut

ex matrimonio liberi legitime nascantur, ne ex adulterio sit proles. Quod si fieret, periculum esset, ne filius eum qui non est pater, ut patrem honoraret: aut verum patrem ignorans, ei nullam deferret reverentiam. Quod etiam Romanorum Græcorumque leges postulare videntur. Quare igitur Epicurus & Stoici introducunt incestus qui cum sororibus committuntur, & masculam Venerem, quibus omnibus bibliothecas compleverunt, ut pueri statim ab ineunte ætate addiscant impias conjunctiones.

Et quid attinet diutius hic immorari, cum & suis diis eadem flagitia adscribant? Etenim dum asserunt esse deos, continuo ad nihilum eos deducunt. Quidam enim tradidere, eos ex atomis consistere; quidam vero in atomos redire, & nihil amplius quam homines posse docuerunt. Plato, dum de diis loquitur, eos materiales perhibet. Pythagoras magno labore summa imaque perscrutatus, extremam naturam Deum autumat. Adstruit quoq; motum rebus insitum, & deos mortalium nullam curam gerere: nec non & illa quæ Clitomachus

ὅπως ἐκ τοῦ γήμαντος οἱ παῖδες νομίμως γίνονται, πρὸς τὸ μὴ ἐκ μοιχείας τοὺς γενομένους εἶναι· ἵνα μὴ τὸν οὐκ ὄντα πατέρα τιμήσῃ τις ὡς πατέρα, ἢ τὸν ὄντως πατέρα ἀτιμάσῃ τις, ἀγνοῶν ὡς μὴ πατέρα. ὁπόσα τε οἱ λοιποὶ νόμοι κωλύουσι Ῥωμαίων τε καὶ Ἑλλήνων τὰ τοιαῦτα πράσσεσθαι. πρὸς τί οὖν Ἐπίκουρος καὶ οἱ Στωϊκοὶ δογματίζουσιν ἀδελφοκοιτίας, καὶ ἀῤῥενοβασίας ἐπιτελεῖσθαι, ἐξ ὧν διδασκαλιῶν μεστὰς βιβλιοθήκας πεποιήκασιν, εἰς τὸ ἐκ παίδων μανθάνειν τὴν ἄθεσμον κοινωνίαν;

Καὶ τί μοι λοιπὸν κατατρίβεσθαι περὶ αὐτῶν, ὅπου γε καὶ περὶ τῶν θεῶν παρ' αὐτοῖς λεγομένων, τὰ ὅμοια κατηγγέλκασι; θεοὺς γὰρ φήσαντες εἶναι, πάλιν εἰς οὐδὲν αὐτοὺς ἡγήσαντο. οἱ μὲν γὰρ ἐξ ἀτόμων αὐτοὺς ἔφασαν συνεστάναι· οἱ δὲ αὖ χωρεῖν εἰς ἀτόμους, καὶ μηδὲν πλεῖον ἀνθρώπων δύνασθαι τοὺς θεούς φασι. Πλάτων δὲ θεοὺς εἰπὼν, εἶναι ὑλικοὺς αὐτοὺς βούλεται συνιστᾶν. Πυθαγόρας δὲ τοσαῦτα μοχθήσας ὑπὸ θεῶν, καὶ τὴν ἄνω κάτω πορείαν ποιησάμενος, ἔσχατον ὁρίζει φύσιν καὶ αὐτοματισμὸν εἶναι. φησί τε τῶν πάντων θεοὺς ἀνθρώπων μηδὲν φροντίζειν, ὁπόσατε Κλιτόμαχος

ὁ Ἀκαδημικὸς περὶ ἀθεότητος εἰσηγήσατο. τί δ' οὐχὶ καὶ Κριτίας, καὶ Πρωταγόρας ὁ Ἀβδηρείτης λέγων· „εἴτε „γὰρ εἰσὶ θεοί, οὐ δύναμαι περὶ αὐτῶν λέγειν, „οὔτε ὁποῖοί εἰσι δηλῶσαι. πολλὰ γάρ ἐστι „τὰ κωλύοντά με.“ τὰ γὰρ περὶ Εὐημέρου τοῦ ἀθεωτάτου περισσὸν ἡμῖν καὶ λέγειν. πολλὰ γὰρ περὶ θεῶν τολμήσας φθέγξασθαι, ἔσχατον καὶ τὸ ἐξόλου μὴ εἶναι θεοὺς, ἀλλὰ τὰ πάντα αὐτοματισμῷ διοικεῖσθαι βούλεται. Πλάτων δὲ ὁ τοσαῦτα εἰπὼν περὶ μοναρχίας θεοῦ, καὶ ψυχῆς ἀνθρώπου, φάσκων ἀθάνατον εἶναι τὴν ψυχὴν, οὐκ αὐτὸς ὕστερον εὑρίσκεται ἐναντία ἑαυτῷ λέγων; τὰς μὲν ψυχὰς μετέρχεσθαι εἰς ἑτέρους ἀνθρώπους, ἐνίων δὲ καὶ εἰς ἄλογα ζῶα χωρεῖν, πῶς οὐ δεινὸν καὶ ἀθέμιτον δόγμα αὐτοῦ τοῖς γε νοῦν ἔχουσι φανήσεται; ἵνα ὁ ποτε ἄνθρωπος, πάλιν ἔσται λύκος, ἢ κύων, ἢ ὄνος, ἢ ἄλλο τι ἄλογον κτῆνος. τούτῳ ἀκόλουθα καὶ Πυθαγόρας εὑρίσκεται φλυαρῶν, πρὸς τῷ καὶ πρόνοιαν ἐκκόπτειν. τίνι οὖν αὐτῶν πιστεύσωμεν; Φιλήμονι τῷ Κωμικῷ λέγοντι·

Οἱ γὰρ θεὸν σέβοντες, ἐλπίδας καλὰς
Ἔχουσιν εἰς σωτηρίαν.

ἢ

chus Academicus protulit, dicens deos non esse. Annon & hæc Critias, & Protagoras Abderites qui dixit? *Si enim dii sunt, nequeo de iis differere, neque quales sint possum demonstrare. Nam multæ sunt causæ quæ me prohibent.* Nam quæ impurissimus Euemerus commemorat, ea supervacaneum reor in medium afferre. Cum enim plurima de diis ausus fuisset proponere, postremo deos prorsus è rerum natura tollit, & omnia per motum sibi insitum administrari statuit. Dum autem Plato de Unitate Dei & de hominis anima disputat, quam immortalem credit, annon rursum sibi contraria dicit? Ostendens etenim animas defunctorum in alios transire homines, quorundam etiam animas illabi in bruta animalia; quis mente sana præditus, horrendum & impium esse hoc dogma non videbit: nimirum, ut is qui quandoque fuit homo, nunc lupus, canis, asinus, aut aliud quodpiam sit irrationale jumentum? Huic haud dissimilia invenitur nugari Pythagoras, qui providentiam non agnoscit. Cui igitur istorum fidem dabimus? Num Philemoni Comico, qui ait?

*Lætas colentes numina, reponunt sibi*
*Spes ad salutem.*

An

An his quos prædiximus Euemero, Epicuro, Pythagoræ, & reliquis pietatem negantibus, & providentiam è medio tollentibus? De Deo quidem & providentia sic inquit Aristo:

*Confide, dignis omnibus nam fert Deus*
*Opem benignus, larga & id præstat manu.*
*Si non reposta præmia manerent viros*
*Qui justa peragunt, irritus foret labor*
*Coluisse divos; quoquo at oculos torqueas,*
*Est cernere indignis habitos semper modis,*
*Queis vita sancta est: at suum qui commodum*
*Solum requirunt, & voluptates amant,*
*Feliciore transigunt semper dies*
*Tenore rerum. Sed futura cernere*
*Cautos oportet, fabulæ & quis exitus.*
*Opinio nec ut pessima invaluit, docens*
*Sub lege nulla vivere, sed ut accidit,*
*Dum fata versant omnia insano impetu,*
*Hæc commeatum namque suppeditant suis*
*Favere pravis moribus quotquot volunt.*
*Viventibus sancte at suus constat honor,*
*Et pœna tandem dira conficiet malos.*
*Nil providentiam effugit summi Dei.*

Cæ-

ἢ οἷς προειρήκαμεν Εὐημέρῳ καὶ Ἐπικούρῳ, καὶ Πυθαγόρᾳ, καὶ τοῖς λοιποῖς ἀρνουμένοις εἶναι θεοσέβειαν, καὶ πρόνοιαν ἀναιροῦσι. περὶ μὲν οὖν θεοῦ καὶ προνοίας Ἀρίστων ἔφη·

Θάρσει, βοηθεῖν πᾶσι γὰρ τοῖς ἀξίοις
Εἴωθεν ὁ θεὸς, τοῖς δὲ τοιούτοις σφόδρα.
Εἰ μὴ παρέσται προεδρία τις κειμένη
Τοῖς ζῶσιν ὡς δεῖ, τί πλέον ἐστὶν εὐσεβεῖν;
Εἴη γὰρ οὕτως, ἀλλὰ καὶ λίαν ὁρῶ
Τοὺς εὐσεβῶς μὲν ἑλομένους διεξάγειν,
Πράττοντας ἀτόπως· τοὺς δὲ μηδὲν
ἕτερον ἢ
Τὸ λυσιτελὲς καὶ τὸ κατ' αὐτοὺς μόνον,
Ἐντιμοτέραν ἔχοντας ἡμῶν διάθεσιν
Ἐπὶ τοῦ παρόντος. ἀλλὰ δεῖ πόῤῥω βλέπειν,
Καὶ τὴν ἁπάντων ἀναμένειν καταστροφήν.
Οὐχ' ὃν τρόπον γὰρ παρ' ἐνίοις ἴσχυκέ τις
Δόξα κακοήθης, τῷ βίῳ τ' ἀνωφελής,
[a] Φορά τις ἐστ' αὐτόματος, ἢ βραβεύεται
Ὡς ἔτυχε. ταῦτα κρίνουσι γὰρ ἅπαντ' ἔχειν
Ἐφόδια πρὸς τὸν ἴδιον οἱ φαῦλοι τρόπον.
Ἔστι δὲ καὶ τοῖς ζῶσιν ὁσίως προεδρία,
Καὶ τοῖς πονηροῖς, ὡς προσῆκ', ἐπιτιμία.
Χωρὶς προνοίας γίνεται οὐδέν.

a Versus iste debetur MS. Bodl.

ὁπό-

ὁπόσα τε καὶ ἄλλοι, καὶ σχεδόν γε οἱ πλείους εἶπον περὶ θεοῦ καὶ προνοίας, ὁρᾷν ἔστι πῶς ἀνακόλουθα ἀλλήλοις ἔφασαν. οἱ μὲν γὰρ τὸ ἐξ ὅλου θεὸν καὶ πρόνοιαν εἶναι ἀνεῖλον· οἱ δὲ αὖ συνέστησαν θεὸν, καὶ πάντα προνοίᾳ διοικεῖσθαι ὡμολόγησαν. τὸν οὖν συνετὸν ἀκροατὴν καὶ ἀναγινώσκοντα προσέχειν ἀκριβῶς τοῖς λεγομένοις, καθὼς καὶ ὁ Σίμυλος ἔφη,

Κοινῶς ποιητὰς ἔστι μὲν ἔθος καλεῖν
Καὶ τοὺς περιττοὺς τῇ φύσει, καὶ τοὺς
καλούς.
Ἔδει δὲ κρίνειν, καθάπερ, ἢ ἐξ οὗ τινι.

καὶ ὁ Φιλήμων·

Χαλεπὸν ἀκροατὴς ἀσύνετος καθήμενος.
Ὑπὸ γὰρ ἀνοίας οὐχ ἑαυτὸν μέμφεται.

Χρὴ οὖν προσέχειν καὶ νοεῖν τὰ λεγόμενα, κριτικῶς ἐξετάζοντα τὰ ὑπὸ τῶν φιλοσόφων καὶ τῶν λοιπῶν ποιητῶν εἰρημένα. ἀρνούμενοι γὰρ θεοὺς εἶναι, πάλιν ὁμολογοῦσιν αὐτοὶ, καὶ τούτους πράξεις ἀθέσμους ἐπιτελεῖν ἔφασαν. καὶ πρώτου γε τοῦ Διὸς, οἱ ποιηταὶ εὐφωνότερον ἄδουσι τὰς χαλεπὰς πράξεις. Χρύσιππος δὲ ὁ πολλὰ φλυαρήσας, πῶς οὐχὶ εὑρίσκεται σημαίνων τὴν Ἥραν στόματι μιαρῷ συγγίνεσθαι τῷ Διΐ; τί γάρ μοι καταλέγειν

Cæterum videre eſt, ut alii & fere quidem omnes qui verba fecerunt de Deo & providentia, inter ſeſe pugnantia dixerint. Quidam enim Deum & providentiam in univerſum è medio ſuſtulerunt. Quidam porro Deos conſtituerunt, & omnia providentia gubernari confeſſi ſunt. Intelligentem itaque lectorem & auditorem diligenter attendere oportet ea quæ dicuntur; quemadmodum & Simylus teſtatur.

*Mos eſt poetis ſtudio ut ornarent pari,*
*Quæ laude nulla digna & quæ maxima:*
*Sed ſcire par eſt unde quid, vel quomodo.*

Quemadmodum etiam Philemon:

*Plena res moleſtiæ*
*Auditor ægræ mentis, ignavus ſedens;*
*Delirus ille remanet, & placet ſibi.*

Proinde neceſſe eſt ut is qui Philoſophos & Poetas audit legitque, ſingula cum judicio examinet & perpendat. Nam dum negant deos eſſe, continuo eoſdem iterum eſſe confitentur, necnon eos impia facinora committere demonſtrant. Et primum quidem magna voce decantant Poetæ, Jovis flagitia. Chryſippus quomodo non invenitur multa ineptiens, ſignificans Jovem cum Junone impuro ore concumbere?

Quid

Quid enim opus est recensere lasciviam ejus quæ dicitur mater deorum, & Jovis Latiarii sitientis humanum sanguinem. Prætereo quoque Attim castratum, & Jovem cognomento Tragœdum, qui manum in pugnum contrahens (ut perhibent) nunc à Romanis divinos honores accipit. Taceo Antinoi delubra, & reliquorum quos Deos indigitant: etenim cum sint isthæc literarum monumentis prodita, intelligenti lectori risum movent: sive quis legat eos negare deos, & tandem sibi ipsis contraria dicere: aut promiscuos & illegitimos ipsorum cognoscat concubitus. Etiam ex ipsorum monumentis quis elicere potest, humanis carnibus vesci esse licitum: & deos, quos præcipuo cultu venerati sunt, id factitasse produnt.

Cæterum nos Deum confitemur, sed unum, conditorem, creatorem & opificem hujus universi mundi, & cognoscimus omnia administrari providentia, & ex ipso solo legem sacrosanctam didicimus. Imo nullum alium habemus legislatorem, quam illum qui revera Deus est: qui nos pie, juste & honeste vivere docet. Quod ad piam vitam attinet, sic præcipit: *Non erunt tibi dii alii præter me. Non*

λέγειν τὰς ἀσελγείας τῆς μητρὸς θεῶν λεγομένης, ἢ Διὸς τοῦ [a] Λατιαρίου διψῶντος αἵματος ἀνθρωπείου; ἢ Ἄπιν τὸν ἀποκοπτόμενον, ἢ ὅτι ὁ Ζεὺς ὁ καλούμενος [b] τραγῳδὸς [c] καλακλείσας τὴν ἑαυτοῦ χεῖρα, ὥς φασι νῦν παρὰ Ῥωμαίοις θεὸς τιμᾶται. σιγῶ τὰ Ἀντινόου τεμένη, καὶ τὰ τῶν λοιπῶν καλουμένων θεῶν. καὶ γὰρ ἱστορούμενα τοῖς συνετοῖς καταγέλωτα φέρει. ἤτοι οὖν περὶ ἀθεότητος αὐτοὶ ὑπὸ τῶν ἰδίων δογμάτων ἐλέγχονται οἱ τὰ τοιαῦτα φιλοσοφήσαντες, ἢ καὶ περὶ πολυμιξίας καὶ ἀθέσμου κοινωνίας. ἔτι μὴν καὶ ἀνθρωποβορεία παρ' αὐτοῖς εὑρίσκεται, δι' ὧν συνέγραψαν γραφῶν, καὶ πρώτους γε οὓς τετιμήκασι θεοὺς, ταῦτα πεπραχότας ἀναγράφουσιν.

Ἡμεῖς δὲ καὶ θεὸν ὁμολογοῦμεν, ἀλλ' ἕνα τὸν κτίστην, καὶ ποιητὴν, καὶ δημιουργὸν τοῦδε τοῦ παντὸς κόσμου, καὶ προνοίᾳ τὰ πάντα διοικεῖσθαι ἐπιστάμεθα· ἀλλ' ὑπ' αὐτοῦ μόνου καὶ νόμον ἅγιον μεμαθήκαμεν· ἀλλὰ ομοθέτην ἔχομεν τὸν ὄντως θεόν. ὃς καὶ διδάσκει ἡμᾶς, δικαιοπραγεῖν, καὶ εὐσεβεῖν, καὶ καλοποιεῖν. καὶ περὶ μὲν εὐσεβείας λέγει, [d] οὐκ ἔσονταί σοι θεοὶ ἕτεροι

---

*a* Tatianus Assyrius eum humanis victimis placari diserte dicit. *b* Hinc fortasse ansam arripuit Lucianus Jovem suum Tragœdum traducendi. *c* Exemplaria habent κατακλύσας. *d* Exod 20.

πλὴν ἐμοῦ. οὐ ποιήσεις σεαυτῷ εἴδωλον, οὐδὲ παντὸς ὁμοίωμα, ὅσα ἐν τῷ οὐρανῷ τῷ ἄνω, ἢ ὅσα ἐν τῇ γῇ κάτω, ἢ ὅσα ἐν τοῖς ὕδασιν ὑποκάτω τῆς γῆς· οὐ προσκυνήσεις αὐτοῖς, οὐδὲ μὴ λατρεύσεις αὐτοῖς. ἐγὼ γάρ εἰμι κύριος ὁ θεός σου. περὶ δὲ τοῦ καλοποιεῖν ἔφη· τίμα τὸν πατέρα σου, καὶ τὴν μητέρα σου, ἵνα εὖ σοι γένηται, καὶ ἵνα μακροχρόνιος ἔσῃ ἐπὶ τῆς γῆς, ἧς ἐγὼ δίδωμί σοι κύριος ὁ θεός. ἔτι περὶ δικαιοσύνης· οὐ μοιχεύσεις, οὐ φονεύσεις, οὐ κλέψεις, οὐ ψευδομαρτυρήσεις κατὰ τοῦ πλησίον σου μαρτυρείαν ψευδῆ. οὐκ ἐπιθυμήσεις τὴν γυναῖκα τοῦ πλησίον σου, οὐκ ἐπιθυμήσεις τὴν οἰκίαν αὐτοῦ, οὐδὲ τὸν ἀγρὸν αὐτοῦ, οὐδὲ τὸν παῖδα αὐτοῦ, οὐδὲ τὴν παιδίσκην αὐτοῦ, οὐδὲ τοῦ βοὸς αὐτοῦ, οὐδὲ τοῦ ὑποζυγίου αὐτοῦ, οὐδὲ παντὸς κτήνους αὐτοῦ, οὔτε ὅσα ἐστὶ τῷ πλησίον σου. οὐ διαστρέψεις κρίμα πένητος ἐν κρίσει αὐτοῦ, ἀπὸ παντὸς ῥήματος ἀδίκου διαποστήσει, ἀθῷον καὶ δίκαιον οὐκ ἀποκτενεῖς, οὐ δικαιώσεις τὸν ἀσεβῆ, καὶ δῶρα οὐ λήψῃ· τὰ γὰρ δῶρα ἀποτυφλοῖ ὀφθαλμοὺς βλεπόντων, καὶ λυμαίνεται ῥήματα δίκαια.

Τούτου μὲν οὖν τοῦ θείου νόμου διάκονος γεγένηται Μωσῆς, ὁ καὶ θεράπων τοῦ θεοῦ, παντὶ μὲν τῷ κόσμῳ, παντελῶς δὲ τοῖς

Ἑβραίοις

*Non facies tibi sculptile, atque omnem similitudinem quæ est in cœlis desuper, & quæ in terra deorsum, & quæ in aquis sub terra. Non adorabis ea, neque coles ea. Quia ego sum Dominus Deus tuus.* Ut autem bona opera faciamus, sic inquit: *Honora patrem tuum & matrem tuam, ut bene sit tibi, & prolongentur dies tui super terram, quam ego Dominus Deus do tibi.* Quod ad justitiam spectat, sic ait: *Non mœchaberis. Non occides. Non furaberis. Non respondebis contra proximum tuum falsum testimonium. Non concupisces uxorem proximi tui, nec desiderabis domum ejus, aut agrum ejus, aut servum ejus, aut ancillam ejus, aut bovem ejus, aut asinum ejus, aut omne jumentum ejus, aut quodcunque fuerit proximo tuo.* [a] *Non evertes judicium pauperis in causa sua. Ab omni verbo falso longe aberis: nec innocentem & justum occides: nec impium justificabis. Munus ne acceperis, quia munus excæcat oculos eorum qui vident, & pervertit verba justa.*

Hujus divinæ Legis minister fuit Moses famulus Dei, universo quidem mundo, præcipue vero He-

a Exod. 23. 6.

bræis, qui & Judæi vocantur: quos primo in servitutem redegit rex Ægypti, semen justum piorum & sanctorum virorum, Abraham, Isaac, & Jacob. Horum Deus recordatus multis miraculis & prodigiis editis per Mosen, eos in libertatem asseruit, & ex Ægypto eduxit. His per desertum ductis restituit terram Chananæam, postmodum Judæam appellatam. Legem quoque iis dedit, & docuit eam. At Legis amplæ licet & mirabilis in omnem justitiam, decem capita, quæ supra dedimus, istiusmodi sunt.

Hebræi ex Chaldæa oriundi, advenæ in Ægypto fuere. Nam eo tempore, famis vehementia cogebantur transire in Ægyptum, ut frumentum coemerent, ubi & aliquanto tempore habitarunt. Ceterum id ipsis accidit quod jamdudum prædixisset Deus. Cum igitur morati fuissent in Ægypto annis quadringentis & triginta, eo anno quo eos inde ducere parabat Moses in desertum, Deus legem posuit,

ἑβραίοις τοῖς καὶ Ἰουδαίοις καλουμένοις, οὓς κατεδούλωσεν ἀρχῆθεν βασιλεὺς Αἰγύπτου, τυγχάνοντας σπέρμα δικαίων ἀνδρῶν θεοσεβῶν καὶ ὁσίων, Ἀβραὰμ, καὶ Ἰσαὰκ, καὶ Ἰακὼβ, ὁ θεὸς ποιήσας καὶ μνησθεὶς θαυμάσια καὶ τέρατα διὰ Μωσέως παράδοξα, ἐῤῥύσατο αὐτοὺς, καὶ ἐξήγαγεν ἐκ τῆς Αἰγύπτου, ἀγαγὼν αὐτοὺς διὰ τῆς ἐρήμου καλουμένης· οὓς, καὶ ἀποκατέστησεν εἰς τὴν Χαναναίαν γῆν, μετέπειτα Ἰουδαίαν ἐπικληθεῖσαν, κατὰ νόμον παρέθετο, καὶ ἐδίδαξεν αὐτοὺς ταῦτα. τοῦ μὲν οὖν νόμου μεγάλου καὶ θαυμασίου πρὸς πᾶσαν δικαιοσύνην ὑπάρχοντος, δέκα κεφάλαια ἃ προειρήκαμεν, τοιαῦτά ἐστιν.

